NI

LI
lica

pt.



Sior S. P.

Modello N. 11

6763



Livret en Medecine de plusieurs Anciens traittez par divers Autheurs

Μάγνου σοφιστοῦ ἐξήγησις εἰς τὸ περὶ οὔρων καὶ ἄλλων πολλῶν παλαιῶν σοφῶν τε καὶ διδασκάλων συντεθεῖσα παρὰ τοῦ φιλοσοφωτάτου Στεφάνου τοῦ ἀλεξανδρέως :~

Περὶ οὔρων προθέμενος γράψαι, δέον ἔδοξέ μοι τῷ προθεμένῳ περί τινος γράψαι ἢ διδάξαι· προσήκει πρὸ παντὸς ἑτέρου τοῦ τοιοῦτον ὅρον ἀποδοῦναι καὶ εἰπεῖν ὅ τί ποτέ ἐστι περὶ οὗ προτίθεται· κἀντεῦθεν τὴν τούτου διάγνωσιν ὁ λόγος διαλαμβάνει. ὥσπερ δὲ καὶ ἡμεῖς τὸ παρὸν σύγγραμμα γράψαι ἐβουλήθημεν πρὸς εἰσαγομένους εἰς τὸ τῆς ἰατρικῆς μάθημα· οἱ δὲ εἰσαγόμενοι δέονται λόγων συντόμων δηλωτικῶν τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. ὁ δὲ ὁρισμός ἐστι λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, δέον ἐστὶ τὸν περὶ οὔρων λόγον πρὸ παντὸς ἑτέρου διαλαβεῖν. ὅτι δὲ πᾶν πρᾶγμα ἐστὶ καὶ ὀνομάζεται φανερόν· διὰ τοῦτο οἱ μὲν οὖν τὸ οὖρον ἔχει ὁρισμὸν τὸν δηλοῦντα τὴν φύσιν.

καὶ οὐσίαν καὶ ὕπαρξιν τοῦ οὔρου· ὡς δὲ ὀνο-
μαζόμενον, ἔχει καὶ ὄνομα· τοίνυν, δεῖ ἀ-
πειν τὸ τοῦ οὔρου ὄνομα πρότερον καὶ τὸν ὁρισ-
μὸν αὐτοῦ· ἔπειτα, καὶ τὴν τούτου διάγνω-
σιν ὡς ἡ δύναμις διαλαβεῖν· καὶ τὸ μὲν ὄνο-
μα τοῦ οὔρου, ἄλλοι ἄλλως ὠνόμασαν· καὶ
γὰρ οἱ μὲν, εἶπον αὐτὸ καλεῖσθαι ὀρῶδες περί-
πλωμα· οἱ δὲ, ὑδατῶδες περίπλωμα· καὶ ἕ-
τεροι ἰχῶρα αἵματος· ἀλλὰ περὶ ὀνομάτων
οὐ δεῖ ζυγομαχεῖν· ἀλλ' ἐᾶν ἕκαστον καλεῖν
αὐτὸ, καθὼς βούλεται· ὁρισμὸς δὲ αὐτοῦ ἐ-
στὶ, τὸ διήθημα τοῦ αἵματος· καὶ οὗτος ὁ ὁ-
ρισμὸς ἐστὶ τοῦ ἁπλῶς καὶ καθόλου οὔρου· ἐ-
πεὶ δὲ τοῦ οὔρου τὸ μὲν ἐστὶ κατὰ φύσιν· τὸ δὲ
παρὰ φύσιν, κατὰ φύσιν μὲν, ὡς τὸ τοῦ ὑγι-
αινόντων· παρὰ φύσιν δὲ, ὡς τὸ τοῦ νοσούντων.
κρίνεται δὲ τὸ κατὰ φύσιν, διὰ τοῦ παρὰ φύ-
σιν· τὸ γὰρ κατὰ φύσιν οὔρων, δηλοῖ πόσον
ἐξέστι τοῦ παρὰ φύσιν· ἐκ τοῦ κατὰ φύσιν· ἄρι-
στον γὰρ οὖρον ἐστὶ, τὸ κατὰ φύσιν· λέγω δὴ τὸ
τῶν ὑγιαινόντων· περὶ οὗ, προϊὼν ὁ λόγος δη-
λώσει· νῦν δὲ, δηλωθῆναι δέον εἰς πόσα

ὁρισμὸς καὶ δι-
αίρεσις οὔρου

περὶ διαιρέ-
σεως οὔρου:

καὶ τίνα ὠφελεῖ τοῦ οὔρου ἡ διάγνωσις· καὶ πα-
ραστῆσαι τὸ χρήσιμον τῆς αὐτοῦ ὠφελείας·
χρησιμεύει γὰρ ἡ τοῦ οὔρου διάγνωσις, πρός
τε τὸ γινώσκειν περὶ τῶν ἐσομένων παρὰ φύ-
σιν, ἢ κατὰ φύσιν διαθέσεων τε καὶ μορίων·
διαγινώσκειν μὲν τὰ παρόντα· προγινώσκειν
δὲ τὰ μέλλοντα· ἔν τε τοῖς ὑγιαίνουσι καὶ ἐν τοῖς
νοσοῦσι· νοσήματα χρόνιά τε καὶ ὀξέα· καὶ
γὰρ ἀπὸ τῆς διαγνώσεως τῆς γινομένης τοῦ οὔ-
ρου διαγινώσκομεν τὰ διαγνωστικὰ σημεῖα·
καὶ ὧν τὰ γινόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι γι-
νώσκομεν· καὶ οἱ ἀφανεῖς τόποι, φανεροῖ πά-
σχοντες καθ' ἑαυτά, ὅπως ἔχουσιν διαθέσεως.
τουτέστιν πῶς διάκεινται· καὶ κατὰ ποίαν κρᾶσιν
κέκρανται· καὶ ὅσον ἐξέστιν ἀπὸ τοῦ κατὰ φύσιν
τὸ παρὰ φύσιν. ἔστω τοσοῦτον δὴ χρησιμεύ-
οντος τοῦ οὔρου καὶ τηλικαύτην ἡμῖν ὠφέλειαν
καὶ διάγνωσιν· διὰ τοῦ δέον ὁλοσχερῶς σπου-
δάσαι πρὸς κατανόησιν τῶν ὑπὸ τῆς θεωρίας
τοῦ οὔρου καὶ διδασκομένων ἡμῖν· καὶ τοι πε-
ρὶ τῆς τοῦ οὔρου ὀνομασίας εἴρηκα μὲν ὅπως
ὑπὸ τῶν παλαιῶν ὀνομάζεται· ἔτι δὲ καὶ πε-

εἰς ὁρισμοῦ αὐτοῦ τοῦ λέγοντος ὅτι ποτέ ἐστι τὸ
οὖρον· πρὸς δὲ καὶ τὰ ὅσα χρησιμεύει τοῦ οὔ-
ρου ἤδη διασκεψάμενοι αὐτάρκως ἐδηλώσαμεν· λοι-
τίς αἰτία ποιητικὴ τοῦ οὔρου: πὸν δέον ἐστὶν εἰπεῖν ὑμᾶς, τίς ποιητικὴ αἰ-
τία τοῦ οὔρου· καὶ λέγομεν ὅτι, ἡ ἐν τῷ ἥπα-
τι ἐξαιμάτωσις· ἡ γὰρ αἱματοποιητικὴ δύ-
ναμις ἀπὸ τῶν εἰς τὸν στόμαχον εἰσαγομένων
βρωμάτων τε καὶ πομάτων· καὶ ἀναλέγεται τοῦ
τοιούτου χυλοῦ τὸ λεπτότερον καὶ καθαρώ-
τερον· καὶ εἰσάγει τοῦτο ἐν τῇ στελεχιαίᾳ τοῦ
ἐν τῷ τῆς χυλοποιητικῆς δυνάμεως ἐστὶ ἥπατος: ἥπατος κατεσπαρμένῃ· ἔοικε γὰρ ἡ μὲν φλέψ,
στελέχει δένδρου· τὰ δὲ κατεσπαρμένα κλω-
νάρια ταύτης ἐν τοῖς σιμοῖς τοῦ ἥπατος, ἐοί-
κασι κλάδοις δένδρου λεπτὰ ὡς λεπτοειδῆ ὄντα·
καὶ πρῶτον μὲν ἐν τῇ στελέχει δὴ φλεβὶ τοῦ ἥ-
πατος, ἡ αἱματοποιητικὴ δύναμις, τὸ ἔρ-
γον αὐτῆς ἀποτελεῖ· καὶ ποιεῖ τοῦ αἵματος σὺν
τῷ φλέγματι καὶ ταῖς δυσὶ χολαῖς· τῆς τε ξαν-
πῶς μερίζονται οἱ χυμοί: θῆς καὶ τῆς μελαίνης· ὅθεν διὰ τοῦ τρυγώδους
αἵματος· ὁ μελαγχολικὸς γεννᾶται χυμός·
ἐκ δὲ τοῦ οἰνώδους αὐτοῦ· ἡ ξανθὴ χολή· ἐκ δὲ
τοῦ ἀφρώδους καὶ πομφολυγώδους, τὸ φλέγ-

μα· καὶ ὁ μὲν μελαγχολικὸς χυμὸς ἢ τὸ φλέγ-
μα ὡς βαρύτερα ὄντα ὑφιζάνουσι κάτω·
ἡ δὲ ξανθὴ χολὴ ὡς ἐλαφρομερεστέρα, τὴν ἀνω-
τέρω χώραν μὲν ἀεὶ διώκει· τὴν μέσην δὲ ἀκρι-
βῶς τάξιν, τὸ αἷμα κατείληφε· τούτου δὲ οὕ-
τω γεγονότος, ὅσον μὲν ἐπίκουφον καὶ ἀνωφε-
λὲς ὅπερ καὶ ξανθοχολικὸν ὑπερίπτασθαι πέ-
φυκεν εἶναι· τοῦτο λαμβάνει ἡ κύστις ἡ λεγο-
μένη χοληδόχος διὰ τοῦ πόρου αὐτῆς καὶ μη-
σὶν κεκολλημένη οὖσα ἐν τοῖς σιμοῖς τοῦ ἥπα-
τος· συγκεκόλληται δὲ αὐτῷ τοῦτο δι᾽ αἰτίας δύ-
ο, μίαν· ἵνα ἐπικειμένη τῷ στομάχῳ καὶ χυλο-
ποιῆται τά τε βρώματα καὶ πόματα· ἑτέραν
καὶ δευτέραν, ἵνα καθαρεύῃ τὸ αἷμα· ὅπως
καθαρὸν γινόμενον τρέφῃ ὅλα τὰ μέρη τοῦ
σώματος· εἰ γὰρ φραχθῇ ὁ πόρος δι᾽ οὗ ἡ χο-
ληδόχος κύστις ἕλκει τὸν ξανθοχολικὸν χυμόν,
τότε σὺν αἵματι ἀναφέρεται ἡ χολὴ καὶ τρέ-
φει ὅλα τὰ μόρια· τρεφομένων οὖν τῶν τοῦ
σώματος μορίων· ἐκ τοῦ αἵματος τοῦ μεμι-
γμένου τῆς ξανθῆς χολῆς, ἀπὸ τούτου τὰ ἄλλη
καὶ τῶν ὀφθαλμῶν τοῦ ἀνθρώπου· καὶ ὀνομάζε(ται)

περὶ ξανθῆς χολῆς.

δι᾽ αἰτίας πῶς ἡ χοληδόχος κύστις· πρώτη ... πρὸς σὺν καὶ ἡ δευτέρα:–

πῶς γίνεται ὁ ἴκτερος:–

τὸ τοιοῦτον πάθος ἴκτερος. τρία αἴτια· ἵνα
ἑψηθῇ τὸ αἷμα καλῶς ὑπὸ τῆς χολῆς θερμῆς
οὔσης· ὅταν διασπαρῇ τὸ αἷμα εἰς τὰ μικρὰ
φλέβια τοῦ ἥπατος. καὶ τέταρτον· ἵνα ἐκ τῆς
χοληδόχου κύστεως ὀλίγη χολὴ ἐξέλθῃ· καὶ
τῇ αὐτῆς δριμεωτάτῃ δήξῃ τὸν λεγόμενον πυ-
λωρὸν καὶ ἀνοιχθῇ· καὶ τὰ περιττώματα τὰ ἐν
τῷ στομάχῳ ὑποκαταβῇ ἐν τοῖς ἐντέροις· ἐκεί-
νοις καὶ ἀπολαμβάνουσιν τὸ εἶδος τῆς κόπρου·
κόπρος γινόμενα· καὶ ἵνα πρὸς τὸν ἀφεδρῶ-
να καὶ κατατρίβῃ ἡ δριμύτης τῆς ξανθῆς χολῆς·
καὶ δάκνῃ τὸν ἀφεδρῶνα καὶ νύξῃ τοῦτον καὶ
διεγερθῇ ὁ ἄνθρωπος πρὸς τὸ διαχωρῆσαι τὰ δι-
αχωρήματα ταῦτα· καὶ κόπρος ὀνομαζό-
μενα· ὅτι δὲ ἡ χοληδόχος κύστις ἐστὶ κεκολ-
λημένη ἐν τῷ ἥπατι, φανερόν· καὶ γὰρ ταύτης
διαρραγείσης ἐν τῷ τοῦ ζώου ἥπατι, πικρὸν τὸ
ἧπαρ τοῖς ἐσθίουσι φαίνεται· καὶ οὕτως μὲν ἡ
ξανθὴ χολή· ἡ δὲ γε μέλαινα, διὰ τοῦ πόρου
τοῦ ἐκ τοῦ ἥπατος εἰς τὸν σπλῆνα ἕλκεται τῇ
ἑλκτικῇ αὐτῆς δυνάμει τοῦ σπληνός, καὶ γίνε-
ται διὰ αὐτοῦ τροφή· διὸ καὶ μέλας ἐστὶν ὁ σπλήν.

ἢ εἰ ἐμφραγῇ ὁ πόρος αὐτοῦ, ὥστε ἐπέρχεται τῷ πῶς γίνεται ὁ μέλας ἴκτερος:–
αἵματι καὶ ἡ μέλαινα χολή· καὶ ποιεῖ τὰ τρεφό-
μενα μόρια τοῦ σώματος μέλανα· καὶ ὀνομά-
ζεται τὸ τοιοῦτον πάθος, μέλας ἴκτερος· περὶ αἵματος:–
οὕτως οὖν τοῦ αἵματος καθαιρομένου ἀπὸ
τοῦ ξανθῆς καὶ μελαίνης χολῆς· λοιπὸν τὸ μὲν αἷμα
ἔχον ὄχημα πρὸς ὁδὸν ποιοῦν αὐτὸ τὸ ὑδατῶδες
περίττωμα διὰ τῶν ἐκ τοῦ ἥπατος φλεβῶν,
ἀπέρχεται πρῶτον καὶ τρέφει τὴν καρδίαν· εἶ-
τα τὸν πνεύμονα· καὶ ἑξῆς τὰ λοιπὰ μόρια
τοῦ ὅλου σώματος· ἢ τὸ καταλειφθὲν παχύτα-
τον καὶ τρυγωδέστερον αἷμα εἰς τοὺς νεφροὺς ἀπερ-
χόμενον, ἕλκουσι τοῦτο εἰς οἰκείαν τροφὴν οἱ
τοιοῦτοι· καὶ διὰ τοῦτο καὶ αὐτοὶ, τοιαύτην ἔχου-
σι χρόαν· τὸ δὲ ὑδατῶδες περίττωμα, ἐστὶν
ὡς ὄχημα τῷ αἵματι· διότι τὸ αἷμα ἐστὶ παχύ-
τατον τὴν σύστασιν· παχέος οὖν δὲ τοῦ αἵματος
ὄντως καὶ μὴ δυναμένου τὰς στενὰς διόδους
διοδεῦσαι, ἔδει ἡμᾶς συμπαρεῖναι αὐτὸ τὸ ὑδα-
τῶδες περίττωμα· ἵνα τῇ τούτου λεπτότητι, προ-
οδεύῃ τοῦ αἵματος· καὶ παρέχει αὐτὸ ἀκώλυ-
τον τὴν δίοδον· ἐπὰν δὲ ἐνδιαθῇ τὸ αὐτὸ περίττω-

μα κατὰ τὸ κρεμάμενον τῆς κοίλης φλεβὸς ἥτις ἐπὶ
κεῖται τῇ ῥάχῃ ἀπὸ ἄνωθεν ἕως κάτωθεν· ἔνθα
οἱ πόρροι τῶν νεφρῶν ὅ τε δεξιὸς καὶ ὁ ἀριστερὸς κεῖν-
ται καὶ διαγράμματος σχήματι θέντες ποιούμενοι
ἕλκουσιν οἱ τοιοῦτοι ἀπὸ τῆς κοίλης φλεβὸς τὸν ἰχῶρα
τὸ δ' ἐστὶ περίττωμα καὶ μεταδιδόασι τοῖς νεφροῖς·
ὑφ' ὧν μεταβάλλεται εἰς οὖρον· καὶ διὰ τῶν οὐρη-
τήρων, ἀποπέμπεται εἰς τὴν οὐρηδόχον κύστιν.
ἀφ' ἧς διὰ τῆς βαλάνου, ἐξέρχεται τὸ οὖρον· εἰ
γοῦν ἢ λίαν νέον τὸ αἷμα καὶ καθαρὸν ὑπὸ τῆς αἱ-
ματοποιητικῆς δυνάμεως τοῦ ἥπατος ἀποτε-
λεσθῇ, τότε καὶ τὸ οὖρον τοιοῦτον γίνεται· εἰ δὲ πο-
λλάκις κατά τινα αἰτίαν ἡ αἱματοποιητικὴ δύ-
ναμις τοῦ ἥπατος ἐμποδισθῇ καὶ οὐ δυνηθῇ
τὸ ἔργον αὐτῆς ἐκτελέσαι, τότε καὶ τὸ οὖρον τοι-
οῦτον φέρεται· καὶ διὰ τοῦτο, ποτὲ μὲν τὰ οὖρα
λεπτὰ καὶ λευκὰ φαίνονται ποτὲ δὲ παχέα καὶ
λευκὰ ὠμοτέρου τοῦ αἵματος γεγονότος καὶ ἀ-
τελοῦς τῆς αἱματοποιητικῆς δυνάμεως ἡττη-
θείσης· ἀμελῶς γὰρ τελέσαι τὸ ἔργον αὐτῆς·
τότε οὐκ ἐποίησεν· φημὶ τὴν τοῦ αἵματος πέψιν
καλῶς· ἀλλ' ὠμότερον αὐτὸ πεποίηκεν· ἄλλοτε

περὶ αἰτίου οὔ-
ρου τὸ κατὰ φύ-
σιν καὶ τὸ παρὰ
φύσιν:-

δὴ καὶ ὑπεροπτημένος ἢ οἷον ὑπερζέσαντος
τοῦ αἵματος, τοιοῦτον καὶ τὸ οὖρον φέρεται· ἢ
διὰ τὰς τοιαύτας αἰτίας, οὐ καὶ τὸ αὐτὸ φαίνεται.
ἀλλ᾽ αἱ μεταβάλλει τὸ εἶδος αὐτό· ὡς γὰρ τὸ αἷμα γί-
νεται, οὕτως καὶ τὸ οὖρον φέρεται· ἀρκούντων οὖν
ἡμῶν τὰς αἰτίας τὸ οὖρον παρὰ φύσιν γίνεται,
λοιπὸν δεῖ εἰπεῖν ἡμᾶς καὶ περὶ τοῦ κατὰ φύσιν
οὔρου τοῦ γινομένου ἐκ τῆς οἰκείας κατασκευ-
ῆς τοῦ αἵματος ὁποῖον δεῖ εἶναι καὶ ὁρίσασθαι.
ὅπερ γινώσκοντες ἐὰν ἴδωμεν τὸ τοιοῦτον ὑπερβάλ-
λον ἢ ἔλαττον, λογιζόμεθα μὴ εἶναι κατὰ φύσιν.
ὁ δὲ κανὼν τοῦ κατὰ φύσιν οὔρου, ἐστὶν οὗτος· οὖ- περὶ τοῦ κατὰ φυσικοῦ οὔρου:
ρον ἄριστόν ἐστι· τὸ μὲν τῆς συστάσεως σύμμετρον· τῇ
δὲ ὑποστάσει, λευκὸν καὶ λεῖον καὶ ὁμαλόν·
τῷ δὲ τοῦ χύματος χρώματι, ὑπόπυρρον ἢ
πυρρὸν ἢ ὀλίγον τι μετέχον τοῦ ξανθοῦ· λεῖον δὲ
φησίν, τὸ μὴ ὂν διεσπασμένον· ὁμαλὸν δὲ τὸ ἐπὶ
ταυτὸν χρόνον τουτέστι καὶ σήμερον καὶ αὔ-
ριον· καὶ τὰς μετὰ τὴν αὔριον ἡμέρας τοιοῦτον
φερόμενον· ὅσα δὲ οὖρα κατὰ τὰ τῶν εἰρημέ-
νων τεσσάρων, ἢ ἐλλείπει ἢ πλεονάζει τοῦ κατὰ
φύσιν· ἀλλὰ παρὰ φύσιν λογίζονται εἶναι·

Ἐπεὶ δὲ καὶ περὶ διαφορᾶς τοῦ οὔρου εἴπομεν, ἐ-
ροῦμεν καὶ περὶ τῆς τούτου ἐποχῆς· ὅτι κατὰ ὀ-
κτὼ τρόπους ἐπέχεται τὸ οὖρον· καὶ γὰρ ἢ διὰ
φλεγμονήν· ἢ δι᾽ ἀσουκρεθν, ἢ διὰ θρόμβω-
σιν αἵματος· ἢ δι᾽ ἀπαραίλησιν, ἢ διὰ τρόπω-
σιν ῥαιδδίου, ἢ διὰ ἀναρικῶς συμπάθειαν· ἢ δι᾽
ἕλκωσιν, ἢ δι᾽ ἀπαρήλυσιν· ἢ διὰ λιθίασιν·

περὶ ὀνομασ(ίας) τῆς ἐποχῆς τοῦ οὔρου:–

αἱ δὲ ὀνομασίαι τῆς ἐποχῆς τοῦ οὔρου, εἰσὶ τρεῖς·
πρώτη, ἰσχουρία ὅταν παντελῶς ἐπέχεται τὸ οὖ-
ρον· δευτέρα, δυσουρία· ὅταν τὸ οὖρον φέρε-
ται μέν, μετ᾽ ὀδύνης δέ· τρίτον στραγγουρία·
ἡ μετ᾽ ὀδύνης κατὰ στάζουσα τὸ ὕδωρ· ἰστέον

περὶ συστάσεως χρώματος ἐναιωρήματος καὶ παρυφισταμένου:

τὰ ποι(οῦντα) δ΄· χύμα· χρῶμα· σύστασις· παρυφιστάμενον·

δὲ ὅτι ἐν παντὶ οὔρῳ θεωροῦνται, τὰ δ΄ ταῦτα·
σύστασις τοῦ χύματος· χρῶμα τοῦ αὐτοῦ χύματος,
ἐναιώρημα καὶ παρυφιστάμενον· ὡσαύτως
καὶ τούτου τύποι τρεῖς· ἢ ἄνω· ἢ κάτω, ἢ μέσον·
καὶ ἡ μὲν ἄνω ἐστί, λέγεται νεφέλη· ἡ δὲ μέση
ἐναιώρημα· αἰώρα γὰρ ἡ κρεμάθρα· ἡ δὲ κάτω,
ὑπόστασιν· ὑποκάτω γὰρ ἵσταται τὸ τοιοῦτον παρυ-
φιστάμενον· ἢ λεῖον· ἢ ὁμαλόν· ἢ ἀνώμαλον·
τούτων γὰρ τὰ μὲν ἅπαντα παραληπτέον,
προϊὼν γὰρ ὁ λόγος δηλώσει· νυνὶ δέ, περὶ συ

στάσεως τοῦ χύματος ῥητέον· καὶ τῶν τούτου δι-
αφορῶν· καὶ γὰρ τὸ χῦμα λέγεται, παρὰ τὸ κε-
χύσθαι· οὖρρα μὲν, ἢ λεπτὸν καὶ μένει πάλιν
λεπτόν· ἢ ἀναθωλούμενον παχύνεται· ἢ οὖ-
ρον παχὺ καὶ μένει παχύ, ἢ λεπτύνεται καὶ
γίνεται λεπτόν· ἢ σύμμετρον ὅπερ καὶ ὑγιεινόν
ἐστι· ἔοικε δὲ, τὸ μὲν λεπτὸν, οἷον τὸ ὕδωρ·
τὸ δὲ παχύ, τὸ μέλι· τὸ δὲ σύμμετρον, οἷον
τὸ ἔλαιον· τὸ δὲ μὴ ἔσωθεν ἀλλ' ἔξωθεν ὑ-
πὸ τῆς ψυχρότητος τοῦ ἀέρος παχυνθὲν,
θερμῷ ὕδατι θερμανθὲν, λεπτύνεται·
καὶ κατὰ τὰς διαφορὰς ἐστὶν, καὶ τῆς συστάσεως
τοῦ χύματος διάφορος σύστασις· καὶ τὸ μὲν
οὐρούμενον λεπτὸν καὶ μένον λεπτὸν, σημαί- περὶ συστάσεως τοῦ χύματος:
νει ἀκατέργαστον ἀπεψίαν· τὸ δὲ ἀναθολούμενον
ὑγρὸν καὶ εἰς πάχος μεταβαλλόμενον, δηλοῖ
πέψεως ἀρχὴν λαμβάνειν· τὸ δὲ οὐρούμενον
παχὺ ἀποκαθιστάμενον ἢ γίνεται λεπτόν,
δηλοῖ ἐν τῷ σώματι ταραχὴν γίνεται ἰσχυράν·
τὸ οὐρούμενον παχὺ καὶ μένον παχὺ, δηλοῖ
τὴν μὲν ταραχὴν διακρίνεσθαι· τὴν δὲ αἱματο-
ποιητικὴν δύναμιν, εἰς πέψιν διεγείρεσθαι.

περὶ χρωμάτων:

καὶ ταῦτά φασι δῆλα, ἀπὸ τῆς συστάσεως τοῦ χύμα-
τος. ἐπειδὴ δὲ τὸ χύμα ἔχει καὶ χρῶμα· τὰ δὲ
τούτου χρώματά φασιν ἕξ· λευκόν· (α) πυρρόν· (β) ὠ-
χρόν· (γ) ξανθόν· (δ) ἐρυθρόν· (ε) καὶ μέλαν· (ϛ) τούτων
τὰ μὲν δύο, ἄκρα· τὸ λευκὸν καὶ τὸ μέλαν, ἔχου-
σι πλάτος. τὸ γὰρ λευκόν, ἔχει πλάτος· εἰς πλά-
τος γὰρ ἐξαπλοῦνται τοῦ λευκοῦ χρώματα· ἔστι γὰρ
κρυσταλλοειδές, ὕδωρ ἀκραιφνές· γαλακτοειδὲς,
τὸ ἐοικὸς γάλακτι· χαροπὸν δὲ ἐοικὸς ἐρίοις κα-
μήλων ὑπόλευκον ὑπάρχον· ἢ ὡς λίθος ὀνυχίτης·
ὅστις τὸ μὲν σχήματι ἔοικεν ὄνυχι· τῇ δὲ χροιᾷ,
ὁμοιότητα φέρων δρίοις καμάτων ὑπολεύκων· καὶ
ταῦτα μὲν τὰ λευκὰ χρώματα κατὰ τὴν ποιότητα·
καὶ τὴν χρόαν κατὰ τὸ μᾶλλον καὶ ἧττον φασίν· ὁμοί-
ως δὲ καὶ τὸ μέλαν καὶ αὐτὸ πλάτος ἔχει· καὶ γὰρ οἰ-
νωπὸν ἐστὶν ὥσπερ ὡς οἶνος μελάντερος· ἢ
ὡς αἷμα βαθύτερον, καὶ πορφυρίζον· χροι-
ὰν ἔχον τὴν τοῦ ἥπατος· ἢ χρῶμα ἔχον ὡς χο-
λὴ ξανθὴ σεσηπημένη· καὶ ὑπερωπτημένη τῇ
θερμασίᾳ· ἢ γὰρ ἰώδη· διά φασι τὰ τῶν ἰκτερι-
κῶν οὖρα· ἢ φαιὸν χρῶμα ἐκ λευκοῦ καὶ μέλα-
νος κραθὲν ὡς τὰ ῥοϊοσχάδια· ἢ χλωρὸν ὡς

ῥοϊοσχάδια:

πράσινον κεραμβίζον· ἢ ὡς χλόη· ἔχει δὲ καὶ
τοῦτο πλάτος· ὧν ἐστι τὸ ἰῶδες· ἕτερον τὸ σμα-
ραγδῶδες· καὶ ἄλλο τὸ πρασῶδες· πάντα χλω-
ρὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον· γίνονται δὲ ταῦ-
τα ὑπὸ θερμότητος πλείονος· τὸ δὲ πελιδνὸν, ἐστὶ πελιδν
βαθύτερον τοῦ φαιοῦ· χροιὰν ἔχον μολυβδώδη·
ὡς τὰ μελανίζοντα ἐκ τῶν τοῦ σώματος πληγῶν·
καὶ τὰ μελανίζοντα ἐκ τῶν θλασμάτων· καὶ
ἔοικε τὸ τοιοῦτον ὑπὸ ψύξεως γίνεσθαι· ἢ ὑ-
πὸ πληγῆς· τὸ δὲ μέλαν, δύο σημαίνει· πο- μέλας
τὲ μὲν θερμότητα· ποτὲ δὲ ψύξιν· τὸ δὲ τοιοῦτον
γενήσεταί σοι γνώριμον πότε γίνεται ἀπὸ θερ-
μότητος· καὶ πότε ἀπὸ ψύξεως· ἔστι γὰρ οὕτως· εἰ μὲν
προηγήσεται χρῶμα χλωρόν, τότε δηλοῖ ὅ-
τι ἀπὸ θερμότητος ἐγένετο· εἰ δὲ προηγήσεται πελι-
δνὸν ψύξιν σημαίνει· ἔστι δὲ τὸ τοιοῦτον ἐπὶ κοι-
νὰ πάντων τῶν χρωμάτων· πλάτος ἔχον καὶ
κατὰ τὸ μᾶλλον καὶ ἧττον· πολλὰ γάρ εἰσι τὰ με-
λανὰ χρώματα· ἀλλὰ καταπονοῦν καὶ ἀνόμοια·
καὶ ταῦτα μὲν περί τε ζουλακοῦ ἢ τοῦ μέλανος
χρώματος τῶν δύο ἄκρων, τὰ δὲ μέσα τούτων
χρώματα, εἰσί, ταῦτα· ὠχρόν· πυρρόν· ξανθόν·

ἐρυθρόν· ἕκαστον δὲ τούτων, ἔχει ὑπόβασιν
καὶ ἐπίτασιν· ὑπόβασις γὰρ τοῦ ὠχροῦ, τὸ
ὑπόχρον· ἐπίτασις τούτου τὸ ὑπόπυρον· ὅ
περ ἐστὶν ὑπόβασις τοῦ πύρρου· ἐπίτασις δὲ
ἐστὶν αὐτοῦ τὸ ὑπόξανθον· ὅπερ ἐστὶν ὑπόβασις
τοῦ ξανθοῦ· ἐπίτασις δὲ αὐτοῦ οὐκ ἔστιν· οὐ γὰρ
ἐπιτείνεται· τὸ δὲ ὑπέρυθρόν ἐστιν, ἰχωροει-

ὑπέρυθρον ἢ ἐρυθρόν:

ὑπέρυθρ ἢ πό της ὑπό:

δὲς αἵματος· τὸ δὲ ἐρυθρόν, ἐξ αἵματος καθα-
ροῦ γίνεται· τὸ ὠχρὸν ἃ δὲ ἔξηται βαφῶν ὑπὸ
ξανθῆς χολῆς, κατὰ μὲν πρῶτον λόγον ὑπό-
χρον γίνεται· ὅμοιον ὑπάρχον ζωμῷ χυμε-
νης ὠμοβράστου· ἃ δὲ διὰ μακρὰν χρόνον τινὰ ἢ
ἕψησις καὶ δ' ἔξηται πλείονα βαφῶν, ποιεῖ τὸ ὠ-
χρὸν χρῶμα ἔχον ζωμῷ χρυσοξύλου· ἃ δὲ ἢ
ἔτι πλείονα κατὰ βαφῶν δέρηται, γίνεται τὸ ὑπό-
πυρρον χρῶμα ὅμοιον· ἔχον χροιοῦ τοῦ ἀποκλα-
τίκης κομιζομένου· ἀρίζω χρυσῷ· εἰ δὲ καὶ ἐ-
πὶ πλεῖον δέξηται τὴν κατὰ βαφῶν, γίνεται τὸ ὑ-
πόξανθον ἐοικὸς κνίκῳ· εἰ δὲ καὶ ἐπὶ πλείονα γένηται
ἡ καταβαφὴ καὶ ἡ ἕψησις· τότε γίνεται τὸ ξανθὸν
ἐοικὸς κρόκῳ· καὶ περὶ χρωμάτων ἐπὶ τοσοῦτον,
ἱκανῶς εἴρηται ἡ περὶ αὐτῶν διδασκαλία· οὐ

λεγέσθαι ἐκ διδασκαλίας, παλαιῶν ἰατρῶν καὶ
σοφῶν. ἐπεὶ δὴ ἐφθάσαμεν περί τε τῆς ἐν τῷ χύ-
ματι οὐσιῶν ὑποστάσεως διδάξαι πόσαι. καὶ τίνες οἱ τού-
του διαφοραί. ὁμοίως καὶ περὶ χρωμάτων τοῦ αὐ-
τοῦ χύματος, λοιπὸν λέγω διδάξαι καὶ περὶ
τοῦ παρυφισταμένου, λέγω δή, περί τε τοῦ χρώ-
ματος αὐτοῦ καὶ οὐσιώσεως. καὶ τοῦ τόπου καὶ τοῦ
χρόνου ἔν τε ὑγιαίνουσι καὶ νοσοῦσιν ἤτε ἐπικινδύ-
νοι εἰσὶν καὶ ὑγιεινοί. ἤτε μέσοι. καὶ οὔτε ὑγιεινοί,
οὔτε νοσοῦντες. χρὴ δὲ πρότερον εἰπεῖν περὶ
κατασκευῆς τῆς ἀρίστης ὑποστάσεως. ἵνα ἐκ τῆς
ἀρίστης ὑποστάσεως τῆς κατὰ φύσιν, γινώσκομεν
τὸ παρὰ φύσιν. καὶ ὅσον τὸ κατὰ φύσιν ἐκ τοῦ πα-
ρὰ φύσιν ἐξέστι. καὶ πρῶτον ὁρίζομεν, ποῖον οὖρον
ἄριστον. καί φησιν ἱπποκράτης. οὖρον ἄριστόν
ἐστι, τὸ ἔχον ὑπόστασιν λευκὴν. καὶ λείην καὶ ὁ-
μαλὴν. καὶ τὸ τοιοῦτον ἐστί, τὸ κατὰ φύσιν οὖρον
καὶ ἄριστον. ὅπερ οὐ χρὴ ἔχειν οὔτε πρόσθεσιν,
οὔτε ἔλλειψιν τοῦ κατὰ φύσιν οὔρου. καὶ ὁ μὲν ἱπ-
ποκράτης εἰπὼν οὖρον ἄριστον ἐστὶ τὸ ἔχον ὑπό-
στασιν, ἐδήλωσεν τὸν τόπον τοῦ κατὰ φύσιν καὶ ἀ-
ρίστου οὔρου. τοῦτο γὰρ τὸ οὖρον, ἔχει τὸ παρυ-

περὶ ὑποστάσεως ἀρίστης:

φιστάμενον ὑποκάτωθεν, ἱστάμενον εἰς τὸν πυθ-
μένα τοῦ ἀγγείου· τὸ γὰρ μέσον ὄν, οὐ λέγεται ὑ-

περὶ ἐναιωρήματος :-

πόστασιν· ὅτι οὐδὲ ὑποκάτω ἵσταται· ἀλλ' ἐνε-
ώρημα· ἐκ τοῦ ἐωρῶ τὸ κρεμνῶ· διότι δὲ κρέμ-

περὶ νεφέλης

μαται μέσον· καὶ ποτὲ μὲν ἐστὶν ἀγαθόν· ποτὲ δὲ
κακόν, μετὰ μικρὸν ἐροῦμεν· ὁμοίως δὲ καὶ τὸ
ἄνω, ὃ λέγεται νεφέλη, οὔτε ὑπόστασιν ἐροῦμεν,
οὔτε ἐναιώρημα· ἀλλὰ νεφέλην· ὅπως ὥσπερ ἡ νε-
φέλη ἄνωθεν ἐπιπλέει, οὕτως καὶ ταύτη· νε-
φέλη γὰρ λέγεται τὸ μικρὸν νέφος· ὥσπερ καὶ

τὸ μέγα, νέφος.

τὸ μέγα λέγεται νέφος· ἐὰν δ' ὅλον τὸν κάτω τόπον

περὶ ὑποστάσεως :·

ἐπέχει· τὸ παρυφιστάμενον, λέγεται ὑπόστα-
σιν· καὶ ἐστὶν ἀγαθὸν καὶ ὑγιεινὸν σημεῖον· ὃ δὲ
τὸν μέσον τόπον, λέγεται ἐναιώρημα· τοῦτο
γὰρ σημεῖον καὶ ἀγαθὸν καὶ κακόν· νόσου καὶ ὑγείας·
Καὶ γὰρ ἐὰν ἔρχεται ἀπὸ τῶν κάτω καὶ ἀνέρχεται
ἐπὶ τὰ ἄνω, ἐστὶ σημεῖον κακόν· ὅτι ἀπέρχεται
ἀπὸ τῆς ὑγείας· καὶ ἀνέρχεται ὡς πρὸς τὴν νόσον.
ἐὰν δὲ ἀπὸ τῶν ἄνω ἔρχεται ἐπὶ τῶν κάτω καὶ εὑ-
ρεθῇ μέσον ἐστὶ σημεῖον καλόν· ὅτι ἔρχεται ἀ-
πὸ τῆς νόσου ἐπὶ τὴν ὑγείαν· ἐὰν δὲ εὑρεθῇ ἄνω,
λέγεται νεφέλη, καὶ ἐστὶ σημεῖον νόσου· καὶ διότι

σημαίνει γνῶσιν, ἐστὶ καὶ κενὸν καὶ ταῦτα δηλοῦται ἀ-
πὸ τοῦ ὅπου ἐν ᾧ τὸ παρυφιστάμενον διελθεῖν·
ἀπορῶ ὡς ἐδιδάχθημεν παρὰ τοῦ πατρὸς εἰρηκό-
τος τὸν τόπον ἐν ᾧ εἶπε τοῦ ὁρισμοῦ ἀόριστόν ἐστι τὸ ἔ-
χον ὑπόστασιν· ἐν δὲ τῷ εἰπεῖν αὐτῷ λευκῷ, ὅτι
χρῶμα τοῦ κατὰ φύσιν καὶ ἀρίστου οὔρου ἐδήλω-
κεν· ὅσα δὲ παρυφιστάμενα οὐκ ἔχουσι χρῶμα
λευκόν, ταῦτα τὰ οὖρα οὐκ εἰσὶν οὔτε κατὰ φύ-
σιν, οὔτε ἄριστα· πάλιν δὲ διὰ τὸ εἰπεῖν λεῖον, λεῖ-
ον γάρ ἐστι τὸ συνεχές· συνεχὲς δέ ἐστι τὸ ἔχον
τὰ μόρια συνημμένα πρὸς ἄλληλα· καὶ ἀλλή-
λων ἁπτόμενα· ὅσα γὰρ οὖρα οὐκ ἔχουσι τὸ πα-
ρυφιστάμενον συνεχές, ἀλλὰ διεσπασμένον
καὶ διακεκομμένον, δηλοῖ ὅτι πνεῦμα παχὺ παρεμπε-
σὸν διὰ μέσου διέσπασεν· καὶ διέκοψε τὴν συνέ-
χειαν τοῦ παρυφισταμένου, οὐκ εἰσὶν ἄριστα, ὅτι
δεῖ παχὺ πνεῦμα, γέγονεν ἐξατμίσιας ὥς φησιν
ὁ Γαληνός· οὐ καὶ ἀρχὴ τροφῆς καλῶς διαιτουμέ-
νης, ἐμπνευμάτωσις· αὐτόθεν δὲ ὡς γίνεται τοῦ λεῖ-
ον τὸ παρυφιστάμενον· τουτέστιν, ὡς συνεχὲς
καὶ ἀλληλουχούμενον· ἢ ὑπ' ἀλλήλων τῶν μορί- χ
συναπτόμενον καὶ συνεχόμενον· πάλιν ἐν τῷ εἰ-

χρὴ μὲν ἡμᾶς νοεῖν
ἢ τὰ πάθη σὺν ἅμα τε
δι' οὔρων ἢ ἔκκρισιν ἅμα τε
ἄλλης τινὸς οὐσίας
συνδυασμοῖν:-

τὸ παχὺ πνεῦ-
μα ἐξάτμισις
Γαληνός:

ποιεῖν τὸν Ἱπποκράτην ὁμαλόν, ἐδήλωσε τὸν καιρὸν καὶ
τὸν χρόνον· ἵνα ἐπὶ πολλὰς ἡμέρας, ἤτοι τὸ τοι-
οῦτον παρυφιστάμενον· μὴ ὂν δὲ ὁμαλὸν
ἀλλ᾽ ἀνώμαλον· οὐκέτι οὔτε ὑγιεινὸν οὖρον,
οὔτε ἄριστον ὡς εἴπαμεν· καὶ ὁ μὲν Ἱπποκράτης, περὶ μό-
νης τῆς ὑποστάσεως ἔφη τὸν ὁρισμὸν τοῦ ὑγιει-
νοῦ καὶ ἀρίστου οὔρου· δέον δὲ ὥσπερ προαφώρισται· καὶ
τὴν σύστασιν τοῦ χύματος· καὶ τὸ χρῶμα τοῦ
κατὰ φύσιν καὶ ὑγιεινοῦ καὶ ἀρίστου οὔρου· ἔστι
τὸ τοιοῦτον οὖρον, τὸ ἔχον ὑπόστασιν λευκὴν
καὶ λείαν καὶ ὁμαλὴν πάντα τὸν χρόνον· καὶ τὴν
σύστασιν τοῦ χύματος σύμμετρον· καὶ τὸ χρῶμα
τι ὑπόπυρρον, ἢ πυρρὸν· ἢ ὑπόξανθον· καὶ τοῦ-
τό ἐστι τὸ ἄριστον καὶ ὑγιεινὸν καὶ κατὰ φύσιν οὖ-
ρον· τὸ ἔχοντα δὲ ταῦτα· ὑπόστασιν χρῶ-
μα· σύστασιν, καὶ χρόνον· ὑπόστασιν λέγω
αὐτό, τὸ παρυφιστάμενον· τὸ κατέχον τὸν κά-
τω τόπον· καὶ τὸ χρῶμα παρυφισταμένου λευ-
κὸν· καὶ τὴν αὐτοῦ σύστασιν, λείαν· τουτέστι συνε-
χῆ· καὶ συνημμένην, καὶ ἀδιάσπαστον· καὶ οὖσαν
ὁμαλήν· τουτέστι τηροῦσαν τὰ εἰρημένα τέσ-
σαρα ταῦτα παρὰ πάντα τὸν χρόνον· ὅσα δὲ οὖ-

Τί ἡ σύστασις τοῦ ἀρίστου μετρ(ία)· τὸ χρῶμα ὑπόπυρρον· ἢ πυρρόν· ἢ ὑπόξανθον:

περὶ τοῦ κατὰ φύσιν καὶ ἀρίστου οὔρου·

ρας ἐκ τῶν εἰρημένων τεσσάρων ἀπαντᾷ ἐν ἑνί· ἢ τὰ ἐν
δυσί· εἴτε ἐν πλείωσιν ἐκτραπῇ, οὐκέτι κατὰ φύ-
σιν ἀλλὰ παρὰ φύσιν· καὶ ταῦτα ἱκανὰ πρὸς τὸ δή
διαγινώσκειν τὰ ὑγιεινὰ οὖρα καὶ τὰ μὴ τοιαῦτα.
ἐπεὶ δὲ ἀρχομένων ἡμῶν τῆς περὶ οὔρου διδασ- ἀρχή
καλίας· εἴπομεν ὅτι τὸ οὖρον ἔχει χῦμα καὶ χρῶ-
μα· καὶ τὸ χῦμα σύστασιν καὶ παρυφιστάμενον· καὶ
ἔστι πόσαι διαφοραὶ τούτων ἑκάστου· οἷον ἡ σύστασις,
εἰς λεπτὸν καὶ παχὺ καὶ σύμμετρον· καὶ τὸ χῦμα
ἐστὶ χρώματα ἕξ· εἴπομεν πρῶτον ποῖον χρῶμα ἐσ(τι) χρώματ(α)
μετὰ ποίας συστάσεως δεῖ ὡς τὸ συνδραμεῖν καὶ λευκοῦ καὶ τοῦ
συστῆναι· καὶ ποιῆσαι ἔν τε ὑγιαίνουσι καὶ νοσοῦ- ποίου σύστασις δύ-
σι· καὶ μετὰ τοῦτο ἐροῦμεν καὶ περὶ τοῦ παρυφι- ναται συνδρα-
σταμένου. Τῶν δὲ ἐν τοῖς χρώμασι· πρῶτόν ἐστι μεῖν:-
τὸ λευκὸν ὅπερ ἔφημεν ἔχειν πλάτος· καὶ γὰρ
ἢ ὑδατῶδες ὅμοιον ὑπάρχον ὕδατι ἀκραιφνε- ὅτι πολὺ πλατύ-
στάτου· ἢ κρυσταλλοειδὲς δὲ τὸ ἐοικὸς κρυστάλλῳ· χιονο- νεται τὸ λευκόν· ὡς
ειδὲς δέ, τὸ ὅμοιον χιόνι· ἢ γαλακτῶδες τὸ γα- ὑδατῶδες· κρυ-
λακτι παρόμοιον ὑπάρχον· χαροπὸν δὲ ὅπερ σταλλοειδὲς γαλα-
ἐστίν, οἷα τὰ τῶν καμήλων ἔρια τὰ ὑπόλευκα. κτῶδες χαροπόν:-
ἢ ὡς ὁ λίθος ὀνυχίτης· ὅς ἐστι τῶν μὲν σχήματι
ὄνυχος ἔχων· χροιὰν δὲ ἐρίων οἷα τὰ τῶν καμήλων.

καὶ ταῦτα μὲν τοῦ λευκοῦ χρώματός ἐστιν ἐπὶ πᾶν
κατὰ τὸ μᾶλλον καὶ ἧττον ὑπάρχοντα. πάλιν
τῆς τοῦ χύματος συστάσεως, πρώτη ἐστὶ τὸ λεπτόν.
ἔστιν οὖν πρώτη συμπλοκὴ, τῆς λεπτῆς συστά-
σεως. καὶ τοῦ λευκοῦ χρώματος, οὐκ ἀγαθή. ἐ-
πὶ τοῦ τοιούτου οὔρου ὑπαρυφισταμένου μὲν ἐστὶ
σημεῖον ἀσθενείας δυνάμεως. εἰ γὰρ ἐὰν ἢ γέροντος,
τῆς γεροντικῆς ἡλικίας ἡ δύναμις ἐστὶν ἀσθενής.
ἐὰν δὲ μὴ ἢ γέροντος. ἀλλὰ νέου μὲν τὴν ἡλικίαν,
μακρονοσήσαντος δὲ καὶ διὰ τὴν μακρὰν νόσον
ἡ δύναμις ἀσθενὴς ἐγένετο. ἐὰν δὲ οὐκ ἔστιν οὗτος
ὁ νέος ἀσθενὴς ἀλλ' ἔστιν ὑγιής, ἰστέον ὅτι παρὰ τὴν
δύναμιν αὐτοῦ, ἔφαγε. καὶ ἔπιε. καὶ ταῦτα τὰ
βρώματα δυσκατέργαστα. οἷον ῥόϊα καὶ τὰ πα-
ραπλήσια. καὶ διὰ τοῦτο προσήκοντος ἡ δύνα-
μις αὐτοῦ ἠσθένησε. καὶ οὐκ ἠδυνήθη περιγενέ-
σθαι τῶν τε βρωμάτων καὶ πομάτων: Οὖρον πο-
λὺ λευκὸν καὶ λεπτὸν ἐλθὸν ἐν παιδίοις, καὶ κισον ἐ-
στί. τοιοῦτον οὖρον ἐρχόμενον ἐπὶ τῶν λεγομένων,
λέγει ἔχει τὸ ἐννόσου ἥρωσ. οὖρον πολὺ λεπτὸν
καὶ λευκὸν ἐρχόμενον ἀθρόον, σημαίνει διαβήτην. ὅπερ
οἱ σοφοὶ τῶν ἰατρῶν καλοῦσιν ὑδροῦρα διάρροιαν.

περὶ λευκοῦ καὶ λεπτοῦ οὔρου:

σημεῖον ὅσα σημαίνει τὸ λεπτὸν καὶ λευκόν.

αἰηοι δὲ διψακὸν ὠνόμασαν· οὐ κατὰ φύσιν ἔ-
χοντος τοῦ αὐτοῦ· ἀλλὰ παρὰ φύσιν· διὰ θερμὴν
δυσκρασίαν τῶν νεφρῶν τῇ ἀπηρωολῇ τοῦ τῶν
ἑλκούντων, τὸ οὖρον· οὖρον λεπτὸν καὶ λευκὸν οὐ-
ρηθὲν ἐν πυρετοῖς, σημαίνει ἀφημερινὸν διαλιπόν·
καὶ γὰρ οὐρεῖται λεπτὸν καὶ λευκὸν ἐπὶ τῶν οὕτως
πυρεσσόντων, διὰ τὸ πλεονάζοντα φλεγματι-
κὸν χυμόν· ἐπὶ τῶν ἐχόντων κατὰ φύσιν ἢ παρ ψύ-
χρον· οὐρεῖται δὲ τὰ τοιαῦτα καὶ διὰ ἐμφράξεις
ἐπὶ τῶν νεφριτικῶν· καὶ ἐν ταῖς ἀρχαῖς τῶν τεταρ-
ταίων διὰ τὸ πλεονάζον αἴτιον· ἔτι οὐρεῖται λε-
πτοὶ καὶ λευκὰ τετραυκένον τὸν τράχηλον ἔχοντας· τετραμμέν(ον) τὸν τράχηλ(ον)·
καὶ βαρυνομένους κεφαλὴν καὶ ὤμους καὶ σημαίνει σκό-
τωσιν καὶ λειποθυμίαν· τὸ δὲ σημαίνει ὁ ἐπῶ· χρή,
χρὴ συνιστάμενον τι χρόνου, καὶ σὺν τῷ παρωχηκότι· σημ(αίνει) ἄκαιρ(ον)
φησὶ γὰρ ἱδρὼς πολὺς ἐξ ὕπνου γινόμενος ἄνευ φα-
νεροῖς προφάσεως· σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶ-
μα χρῆται· οὖρον πολὺ ἐν πυρετοῖς λεπτὸν καὶ
λευκὸν οὐρηθὲν, σημαίνει ἄνεσιν· οὖρον λεπτὸν καὶ λευ-
κὸν διὰ τέλους ἐπὶ τῶν προπαροξυνομένων πυ-
ρετῶν· δηλοῖ ἀπόστασιν ἔσεσθαι εἰς τὰ κάτω χω-
ρία τῶν φρενῶν· οὖρον λεπτὸν καὶ λευκὸν ἐλθ(όν)

ἐνίκως ὡς δὲ πυρεττῶν ἐστὶ φρενίτην· τοῦ γὰρ καύ-
σου πυρετοῦ γινομένου ὑπὸ πλήθους ξανθῆς χο-
λῆς ἢ χολώδους περιττώματος ἀναφερομένης ἢ τὴν
κεφαλὴν καταλαμβάνοντος εἰρηκὼς ἐν τῷ προ
δηεῖ αὐτοῖ λίαν ἢ φλεγμονὴν ἀπεργασαμένου·
ἐν ταὐτὸ κατὰ διὸ μὲν ὑγρασ. φρενίτην ἐμποιεῖ·
καὶ ἣ μὲν παύσηται δι' ἅ τινα αἰτίαν ἡ φρενῖτις οἷον
δι' αἱμορραγίαν τῶν ῥινῶν· ἢ δι' ἱδρῶτα πολλῶν ἐν τῇ
κεφαλῇ γενομένου· ἀναστήσεται· τὸ δὲ οὖρον φέ-
ρεται διὰ τὴν εἰρημένην αἰτίαν, λεπτὸν καὶ λευκόν·
ἃ δὲ προμένει τὸ τοιοῦτον λεπτὸν καὶ λευκὸν παρέστι
δὲ ἡ φρενῖτις χρονίζουσα· ἐὰν ἃ εἴρηται ὑπάρχων·
καὶ περὶ μὲν τοῦ λεπτοῦ καὶ λευκοῦ οὔρου, ἱκανῶς
πᾶν εἰρημένως· ἐπεὶ δὲ ἡ λεπτὴ ἡ σύστασις τοῦ χύμα-
τος σύστασιν δύναται ἢ μετὰ ὠχροῦ χρώματος.
ὥστε ἔφημεν, ἄπο μὲν καὶ περὶ τούτου πῶς τε γίνεται.
καὶ πόσα καὶ τίνα ἐστί· καὶ γὰρ τὸ λεπτὸν καὶ λευ-
κὸν οὖρον εἰ δὲ ἔχει τινὰ ἀκριβῶς βαφὴν χολῆς ξαν-
θῆς· καὶ ἀλλάξει τὸ λεπτὸν χρῶμα καὶ γίνεται
ὕπωχρον ὅμοιον ὑπάρχον ζωμῷ χυμένῳ κο-
ὠμοβράστου· ἐστὶν ὅτι εἴπε χαίρησεν ἡ φύσις
ποιῆται πέμψιν τοῦ σώματος αἱμωδραὶ· οὐ

περὶ λεπτοῦ καὶ ὑπώχρου οὔρου:-

πῶς δὲ ἠδυνήθη καὶ τὴν σύστασιν τοῦ χύματος πέ-
ψαι καὶ παχῦναι· καὶ διὰ τοῦτο, καὶ τοῦτο ἐστὶν
ἀπεψίας καὶ ἀτονίαν τῆς δυνάμεως ὅτι οὐκ ἴσ-
χυσεν καὶ τὴν σύστασιν πέψαι τοῦ χύματος·
ἀλλ' ἐὰν μὲν λεπτὸν ὅμοιον ζωμοῦ κρέατος μήπω
ἑψηθέντος καὶ ἀναλυθείσης τῆς οὐσίας αὐτοῦ εἰς
τὸν ζωμὸν ἵνα γένηται παχύτερος ζωμός· ἀλλ' ἔ-
τι λεπτὸς καὶ ὁμόβραστος· εἰ δὲ κατὰ βαφὴν χο-
λῆς ξανθῆς δόξῃ εἶναι τὸ ὕπωχρον, γίνεται τότε λεπτὸν ὠχρόν·
χρῶμα τοῦ ὕδατος ὕπωχρον· ὅμοιον ζω-
μῷ τῷ ἀπὸ τοῦ χρυσοξύλου γενομένου· καὶ ση-
μαίνει πυριωτέραν ξανθὴν χολὴν ἐπιβάψαι τὸ
ὑδατῶδες τοῦ οὔρου· καὶ ἐποίησεν αὐτὸ χρῶμα λεπτὸν ὑπόπυρρον·
ἔχειν ὠχρόν· εἰ δὲ γε πυριωτέρα χολὴ ἐπι-
βάψῃ τὸ ὑδατῶδες τοῦ οὔρου, ἐναλλάττει τὸ
χρῶμα τοῦ ὠχροῦ καὶ ποιεῖ αὐτὸ ὑπόπυρρον
ὅμοιον οἴνῳ χρυσῷ τῷ ἀπὸ Κρήτης κομιζομένῳ· λεπτὸν πυρρόν
εἰ δὲ καὶ ἔτι πυριωτέρα χολὴ ἐπιβάψῃ τὸ ὑ-
πόπυρρον χρῶμα τοῦ οὔρου ποιεῖ αὐτὸ ὅμοι-
ον ἀρίζω χρυσῷ· εἰ δὲ καὶ ἔτι πλέον ἐπιβά-
ψῃ τὸ ὑδατῶδες χρῶμα τοῦ οὔρου χολώδης τὸ λεπτὸν ὑπόξανθον·
πυρρόν, ποιεῖ αὐτὸ ὑπόξανθον ὅμοιον οἴνῳ κνίκῳ·

ἔστι δὲ καὶ τοῦτο τὸ ὑδατῶδες οὖρον πλεῖον χολῆς ἐ-

λεπτὸν ὑπόξανθον

πιδέχηται, ἀλλάσσει τὸ ὑπόξανθον χρῶμα

τοῦ οὔρου καὶ ποιεῖ αὐτὸ ξανθὸν ὅμοιον οἴνῳ κροκώ-

δει· οὕτω κατὰ προσθήκην τῆς ξανθῆς χολῆς κατὰ μι-

κρὸν ἐπαυξάσης, ἀλλάσσεται τὰ εἰρημένα χρώ-

ματα ὅπερ εἴρηται· καὶ μετὰ λεπτῆς συστάσε-

ταῦτα σημειοῦνται μετὰ λεπτῆς συστάσεως:

ως τοῦ οὔρου ταῦτα σημειοῦνται· λευκόν, ὑπόχρον·

ὠχρόν· ὑπόπυρρον· πυρρόν· ὑπόξανθον·

ξανθόν· καὶ οὕτως ὡς εἴρηται κατὰ μικρὸν γίνεται

ἡ ἐκτροπὴ τοῦ ὑγιεινοῦ καὶ κατὰ φύσιν οὔρου·

τὸ γὰρ κατὰ φύσιν οὖρον ἀνωτέρω προλέλεκται

ὁποῖον δεῖ εἶναι· μετὰ δὲ τὸ ξανθὸν χρῶμα, ἔ-

περὶ ὑπερύθρου:

στι τὸ ὑπέρυθρον· τὸ δὲ τοιοῦτον χρῶμα, γίνε-

ται ἀφ' αἵματος οὐ καθαροῦ· ἀλλ' ἰχωροειδοῦς·

καὶ γὰρ καὶ τῷ χρώματι προσεοικὼς τῷ λαμπρῷ

τὸ τοιοῦτον χρῶμα τὸ ὑποίνηκεν· ὅ οἱ βαφεῖς φλό-

γιον ὀνομάζουσιν· οἱ δὲ περὶ τὸν Γαληνὸν φοι-

νικοῦν ὀνομάζουσιν· ὅτι χρῶμα φοινικοῦν ἔ-

χει· μετὰ δὲ τὸ ὑπέρυθρον χρῶμα, ἔστι τὸ ἐρυ-

περὶ ἐρυθροῦ:

θρόν· ὅπερ ἀπὸ καθαροῦ καὶ ἀδόλου αἵματος

ὅτι ὑγιεινὸν τὸ ἐρυθρὸν οὐ σύμφωνα αὐτῷ· ἢ τὸ βιβλίον οὐχ ὑγιές:

γίνεται· τὸ δὲ τοῦ ἐρυθροῦ ὑπερβάλλει ἢ ἐλλεῖ-

πον, οὐκ ἔστιν ὑγιεινὸν οὖρον· ἀλλὰ νόσον· μετὰ



δὲ τὸ ἐρυθρὸν χρῶμα, ἐπὶ τὸ μέλαν· πλάτος δ' ἔχων πολύ· καὶ γὰρ οἰνωπόν ἐστιν, ὅμοιον μελαντέρῳ οἴνῳ· ἢ ὡς αἷμα βαθὺ πορφυρίζον· χροιὰν ἔχον ἥπατος· μετὰ τοῦτο δὲ ἐπὶ τὸ κυανοῦν χρῶμα ἔχων· ξανθῆς χολῆς σκοτουμένης· ἢ ὑποπτημένης· καὶ τῇ χροιᾷ ἀγαρώδης· οἷα ἐστὶ τὰ τῶν ἰκτερικῶν οὖρα· τὸ δὲ τοιοῦτον οὖρον ὁ Γαληνὸς φησίν· ὅτι τῷ λαικῷ χρώματι τῷ λαμπρῷ προσηθῶν, τῷ ποιῆσαι αὐτῷ προσελθεῖν εἰς τὸ μέλαν καὶ τὰ κορὲς καὶ λαμπρόν. τὸ δὲ φαιὸν ἐστί, τὸ ἔχον κρᾶμα λευκοῦ καὶ μέλανος ὡς τὰ ῥοϊσχάλδια· τὸ δὲ χλωρὸν ἐστί· ἢ ὡς πράσινον κραμβίζον, ἢ ὡς ἡ χλόη. θεωρεῖται δὲ ἐν αὐτῷ πλάτος· καὶ γὰρ ἰῶδες· καὶ σμαραγδίζον· καὶ σαπῶδες, ἅπαντα χλωρὰ λέγονται κατὰ τὸ μᾶλλον καὶ ἧττον γινόμενα· γίνονται δὲ τὰ τοιαῦτα ὑπὸ θερμοῦ πλείστου· τοῦ δὲ φαιοῦ τὸ βαθύτερον, λέγεται πελιδνὸν χρῶμα ἔχον οἷον τὸ τῆς μολύβδου· καὶ τὰ μελανίζοντα τούτου σώματος πληγῶν· καὶ τὰς ἐκθλασμάτων μελανίζοντα χρώματα· συμβαίνουσι δὲ ταῦτα γίνεσθαι, ἢ ὑπὸ ψύξεως, ἢ ὑπὸ πληγῆς·

περὶ μέλανος·

κυανοῦ·

περὶ φαιοῦ·

χλωροῦ·

πελιδνοῦ

πλάτος τοῦ μέλανος· οἰνωπὴ, κυανοῦ, φαιοῦ· χλωροῦ· πελιδνοῦ· τὸ χλωρὸν διαιρεῖται εἰς γ΄· ἰῶδες· σμαραγδίζον καὶ σαπῶδες·–

γίνεται δὲ πολλάκις τὸ μέλαν καὶ αὐτὸ ὑπὸ ψύξεως
ἢ ὑπὸ θερμότητος· εἰ γὰρ ἅμα μὲν προσείη τὸ χρῶ-
μα χλωρὸν, σημαίνει θερμότητα· ἂν δὲ πελιδνὸν, σημαίνει
ψύξιν· καὶ αὕτη ἐστὶν ἡ τάξις τῶν χρωμάτων ὡς
ἤδη φθάσαντες εἴπομεν· ἐπεὶ δὲ τὰ εἰρημένα χρώ-
ματα δύναται συμπλακῆναι μετὰ συστάσεως
παχείας ἢ λεπτῆς, δέον εἰπεῖν ποῖα χρώματα
μετὰ ποίας συστάσεως δύναται συστῆναι· ἢ τίνα
(σημ. τὰ ἐξ αὐτῶν σημαινόμενα:) τὰ ἐξ αὐτῶν σημαινόμενα· ἔν τε ὑγιαίνουσι καὶ ἐ-
νοσοῦσι· καὶ λέγομεν ὅτι τὸ μὲν λευκὸν χρῶμα·
φημὶ δὲ τὸ ἀκρεφνὲς λευκὸν καὶ τὰ λοιπὰ λευκὰ
χρώματα ἐκ τούτου τοῦ λευκοῦ ἀπέχοντα· οἷον
τὸ γαλακτῶδες ἢ τὸ χαροπὸν συμπλακόμενα με-
(ἀρχὴ πυρετ.) τὰ λεπτῆς συστάσεως, τί σημ. καὶ ἰδοὺ λέγομεν λε-
(ἐπὶ λευκοῦ χρώματος· ἢ μετὰ ποίας συστάσεως δύναται συμπλακῆναι:) πτὸν γαλακτῶδες· τὸ τοιοῦτον οὖρον, ἐν ταῖς ἀρχ.
ἀρχαῖς τῶν πυρετῶν ἐξερχόμενον ἐστὶ πονηρόν.
ἐν δὲ ταῖς παρακμαῖς, καταπολὺ ἐστὶ χεῖρον· λε-
(σημ. γλαυκὸν) πτὸν γλαυκὸν καὶ χαροπὸν· διὰ μὲν τῷ λεπτῷ τῷ σύ-
στασιν, σημ. ἀπεψίαν· οὕτω γὰρ ἐχρώθησαν διὰ
τὴν ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ· διὰ τοῦτο καὶ
ἡ λεπτὴ σύστασις συμπλέκεται μετὰ τῶν τοιούτων
(ἐπὶ λεπτῶν ὑποχρωμάτων χρωμάτων οὔρων:) χρωμάτων· καὶ σημ. καὶ ἡ λεπτότης ἀπεψίαν· ἡ γὰρ

πέψις, παχέα τὰ οὖρα. λεπτὸν ὑπόχρον
καὶ ὠχρόν. τὰ τοιαῦτα οὖρα, σημαίνουσιν ἀρ-
χὴν πέψεως. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν, τὴν
σύστασιν ἀναγκαιοτέραν ποιήσας, οὐκ ἴσχυσεν
πέψαι ἢ παχῦναι. τὸ δὲ χρῶμα ἐλαττότερον
ὑπάρχον τῆς συστάσεως, κατέβαλεν πέψεως
ἀρχὴν ἀρξάμενον ποιεῖν. λεπτὸν ὑπόπυρρον. ἐπὶ λεπτῶν ὑποπύρρων
πυρρόν. τὰ τοιαῦτα οὖρα φασὶ κρείττονα τῶν προτέρων. ἢ πυρρῶν:-
ἢ γὰρ δηλοῦσιν ὅτι τὸ ἔμφυτον θερμὸν, δυναμι-
κώτερον ἐγένετο παρὸν, καὶ διὰ τοῦτο καὶ πλεῖ-
ον ἀνῆψε βαφὴν χρώματος παρέχειν τῷ χύματι.
τὴν δὲ σύστασιν, οὔπω ἠδυνήθη παχῦναι. ὅτι
οὐδὲ τὴν ὕλην πέψαι. καὶ διὰ τοῦτο καὶ τὰ τοιαῦτα
οὖρα καλοῦνται ἄπρακτα. τοιοῦτον δὲ οὖρον λεπτὸν
λέγω. ὑπόπυρρον ἢ πυρρὸν ἐν ὑδερικοῖς φανὲν, ἐπὶ οὔρων τῶν ὑδερικῶν κανών.
κινδυνῶδες. ὥσπερ τὸ ὑδατῶδες ὠφέλιμον. περὶ λεπτῶν
λεπτὸν ὑπόξανθον ἢ ξανθόν. ἐπὶ τὰ τοιαῦτα οὖρα ὑποξάνθων ἢ
κατὰ μὲν τὴν σύστασιν τοῦ χύματος φασὶν ἄπεπτα. ξανθῶν:-
κατὰ δὲ τὰ χρώματα. οὐ μόνον οὔ φασι κατὰ φύσιν,
ἀλλὰ παρὰ φύσιν. καὶ πρὸς τοῦτο δηλοῦσι τὰ τοι-
αῦτα οὖρα, καὶ ὕλης ἔνδειαν. καὶ γὰρ ἐὰν ἔστι τὸ
τοιοῦτον οὖρον τινὸς νέου τὴν ἡλικίαν καὶ ἀποπεπτη-

σαντος διὰ τὴν ἔνδειαν τῆς ὕλης, τὸ οὖρον αὐτοῦ
ἐστὶν ὑπόξανθον ἢ ξανθόν· τοιοῦτον δὲ γίνεται
αὐτοῦ τὸ οὖρον, διότι ἐν τῷ βάθει τοῦ σώματος
αὐτοῦ ἐπλεόνασεν ἡ θερμότης· ὁ δὲ πλεονασμὸς τῆς
θερμότητος, ἐγένετο διὰ πλεονασμὸν ξανθῆς
χολῆς· ὁ δὲ πλεονασμὸς τῆς ξανθῆς χολῆς, ἐξε-
χόλανε τὸ αἷμα· καὶ ἐποίησεν αὐτὸ ξανθοχολικώ-
τερον· καὶ μάλιστα χρονισάσης τῆς θερμότητος
ἐν ὥρᾳ θερινῇ· τὴν γὰρ συνδρομὴν τῶν εἰρημένων,
τῇ περὶ αὐτῶν: λέγω δὴ τὸ εἶναι τινὰ αὐτῶν ἡλικίαν νέον· καὶ τὸ ἀσιτῆ-
σαι τοῦτον καὶ νηστεῦσαι· ἢ καὶ φροντίσαι πλεῖον δέ-
οντος· καὶ ὑπὲρ τὴν δέουσαν μὲν αὐτοῦ κοπωθῆναι·
ἢ ὁδοιπορῆσαι· καὶ ἔτι ἐὰν προσέχει τὸ αὐτὸς καὶ
λύπη καὶ ἄμετρος καὶ ἀγρυπνία ἐν τῇ αὐτῇ θερινῇ
ὥρᾳ ὅτε οἱ τριταῖοι ὡς ἐπὶ τὸ πολὺ γίνονται διὰ
τὰς τοιαύτας αἰτίας, τότε δὴ φέρονται οὖρα λε-
πτὰ καὶ ξανθά· καὶ περὶ μὲν λεπτότητος συστά-
σεως· καὶ μετὰ ποίων χρωμάτων αὕτη συνίστα-
ται, ἱκανὰ τὰ εἰρημένα· λοιπὸν καὶ διὰ σαφήνειαν
μόνην καὶ διὰ τὸ εὐσύνοπτον, ἐκθήσομεν καὶ ἐ-
πὶ διαγράμματος· τό τε λεπτὸν τῆς συστάσεως
τὰ περὶ λεπτῆς καὶ τὸ ποσὸν τοῦ χρώματος· καὶ γὰρ μετὰ λεπτῆς

συστάσεως, δέκα εἰσὶ τὰ συνιστάμενα χρώματα· διάγραμμα περὶ λευκῆς ἢ λεπτῆς συστάσεως ἢ παχείας συστάσεως :-
ὧν ἡ ἀπαρίθμησις ἐστὶν αὕτη· πρῶτον, λευκὸν λε-
πτόν, δεύτερον, γαλακτῶδες λεπτόν· τρίτον,
λεπτὸν γλαυκόν· τέταρτον, λεπτὸν χαροπόν·
πέμπτον, λευκὸν ὕπωχρον· ἕκτον, λεπτὸν,
ὠχρόν· ἕβδομον, ὑπόπυρρον· ὄγδοον, λε-
πτὸν πυρρόν· ἔνατον, λεπτὸν ὑπόξανθον·
δέκατον, λεπτὸν ξανθόν· καὶ ταῦτα τὰ δέκα
χρώματα, δύνανται συστῆναι μετὰ λεπτότητος συ-
στάσεως· καὶ ταῦτα εἰσὶ τὰ ὑπὸ τούτων σημαινό-
μενα καθὼς ἄνωθεν εἴρηται· λοιπὸν μεταβιβά-
σωμεν τὸν τῆς διδασκαλίας λόγον, ἐπὶ τὴν σύ-
μπλοκὴν τῆς παχείας συστάσεως· καὶ ἐροῦμεν
μετὰ ποίων χρωμάτων αὕτη δύναται συστῆναι·
πρῶτον, λευκὸν παχύ· τὸ λευκὸν ἃ τάχα εἴρηται
ὅτι συνίσταται μετὰ λεπτῆς συστάσεως καὶ τί λευκὸν ἢ παχύ :-
δηλοῖ, ἀλλ' ὁμοίως συνίσταται καὶ μετὰ παχείας συ-
στάσεως· καὶ δηλοῖ ἄλλα τινὰ παρὰ τὰ εἰρημένα·
τὸ γὰρ λευκὸν καὶ παχὺ οὖρον, δηλοῖ τὸν ὠμὸν χυ-
μὸν πολὺν πλεονάζειν ἐν τοῖς ἀγγείοις· ἤγουν λέ-
τὰς φλέβας· ὠμὸν δὲ χυμὸν λέγω, φλέγματος
διαφθορᾶς· οἷον φλέγμα ὑελῶδες· φλέγμα, ἤτοι φλεγμ(άτων) :-

ἄλυπον· καὶ ἁλμυρόν· φλέγμα, ἀπορρεῖ τοιοῦ-
τον γὰρ οὖρον παχὺ καὶ πολὺ καὶ λευκὸν ἐλθὸν,
ῥύεται ἀποστάσεις ἀσφαλεῖς ἀρθραλγέσι τοῖς προπε-
πονηκόσιν αὐτά· ἢ τοῖς γενομένοις ὅπως οὖν ἐν
νόσῳ κοπώδει· καὶ τοῖς χρονίσασιν ἐπὶ πλήθει
β παχὺ γαλακτῶδες: παχέων χυμῶν·: δεύτερον παχὺ γαλακτῶδες.
τὸ γαλακτῶδες χρῶμα εἰ ταχέως εἴρηται ὅτι ἴσου
μὴ πολὺ καὶ εἶναι μετὰ λεπτῆς συστάσεως καὶ ἤδη λοιπόν,
ἀλλ' οὕτω καὶ μετὰ παχείας συστάσεως δύναται οὐκ εἶ-
ναι· καὶ γὰρ ὅτε τοιοῦτον οὖρον δι' ὅλου ἔρχεται,
τότε σημαίνει ἕλκωσιν τῆς κύστεως· ἢ τῶν νεφρῶν·
κρίνεται δὲ καὶ γινώσκεται τὸ πάθος, οὕτως· τὸ
ὕπον χρῶμα κηρῶδες· καὶ τῶν ὑποστάθμων αὐτοῦ
ὑποκράτησαν· καὶ τὸ τῆς διὰ τῆς ὀσφρήσεως· δυ-
τονοῦ γίνεται τὸ πάθος· καὶ φανερὰ ἡ ἕλκωσις·
ὁ δυσώδης γὰρ βορβορώδης καὶ ἰχωρώδης ἐκ τῆς ὑποστάθμης
ἐξέρχεται· ἀφ' ἧς ἡ διάγνωσις τῆς ἑλκώσεως φα-
γ παχὺ χαροπόν νερὰ ὅσοι γίνεται· τρίτον· παχὺ χαροπόν· ὅμοι-
ον τὸ χαροπὸν ἢ ταχέως εἴρηται ζωῆς ἀσθαι μετὰ λε-
πτῆς συστάσεως· ἀλλ' οὖν σημαίνεται ἡ μετὰ παχείας
καὶ ἡ ἀνθράκωσις διαμένει ὃ τὸ οὖρον οὐρήσας τοι-
οῦτον, δηλοῖ πολλὴν κακοχυμίαν ἐν τῷ σώματι

αὐτοῦ ἀθροισθῆσαν. τὰ δὲ τοιαῦτα οὖρα φέρονται
οἱ τὰ τῶν ὑποζυγίων, δηλοῦσι κεφαλαλγίαν, — οἱ τὰ τῶν ὑποζυγ
ἢ οὖσαν, ἢ ἐσομένην. πλὴν ὅρα ἵνα μὴ πολλάκις — ἢ ὅρα μὴ ἀπὸ
ἐξῆλθον ἀπὸ τῶν ἔσωθεν. ἀλλ᾽ ἔξωθεν τυχὼν — τῶν ἔξωθεν:
ἀὴρ τῷ ποιῆσαι αὐτὰ τὰ τοιαῦτα φαίνεσθαι. γενήσε-
ται δὲ τοῦτο φανερὸν οὕτως. οἱ μὲν ἔσωθεν ἢ τοιοῦ-
τον, μένει τοιοῦτον. ἢ ἀπὸ καταστάσεως λεπτύν-
θησεται. τὰ δὲ ἔσωθεν, οὐκ ἐγένετο τοιοῦτον. ἀλ-
λὰ λεπτὸν οὐρηθὲν ὑπὸ τοῦ ἔξωθεν ἀέρος ψυ-
χθέν, ἐπαχύνθη ὥσπερ ὁ κρύσταλλος ἐν πυρί. ἢ
ἐν ὕδατι χλιαρῷ τοῦτο προσομιλήσας λεπτύνεται.
καὶ ὁ μορφόλυγας κατὰ τὴν ἄνωθεν ἐπιφάνειαν
δηλονότι, ὥσπερ ὁ κρύσταλλος. ἐπὶ τοῦτο ἐστὶν ἡ πα-
χεῖα ὑπόστασις τοῦ οὔρου. καὶ γὰρ ἐν πυρετῷ ἡ τοι-
αύτη ὑπόστασις γίνεται θρομβώδης καὶ διὰ τὸ ἀκο-
λουθῆσαι πλῆθος οὕτου λεπτοῦ· ἐστὶ τοῦ πυρε-
τοῦ λύσιν. ἐστὶ τέταρτον παχὺ ἐρυθρόν. ὁ τοι- — δ´ παχὺ ἐρυθρ.
οῦτον οὖρον σημαίνεται, δηλοῖ λεπτὸν αἱματικὸν
χυμὸν ἐν τῷ σώματι. ὥσπερ ἐν συνόχοις καὶ ὀ-
ξέσι πυρετοῖς. τοιοῦτον οὖρον ἐρχόμενον μετὰ
κωφώσεως καὶ ὀδύνης κεφαλῆς. ἔτι δὲ ὀδύνης
τραχήλου καὶ ὑποχονδρίου. ἐστὶ πρὸ τῆς ἐσομένης

ε ἡμέρας, ἢ μᾶλλον ἴκτερον· πέμπτον, παχὺ καὶ ὑ-
παχὺ ὑπέρυθρον πέρυθρον· εἰ τοιοῦτον οὖρον συνίσταται· καὶ ἡ ἐπὶ
περιοδευομένας, ταῦτα τὰ σημεῖα φέρουσιν περὶ
ξυνὸς σήματος· ἕβδομον παχὺ οἰνωπόν· τοιοῦτον
λγ τὸ ζ παχὺ οἰνῶ ζ οὖρον συνίσταται καὶ ἐπὶ ὑγιαινόντων· τοιοῦτον δὲ
οὐρούμενον ὡς ἐπὶ τὸ πολὺ γῆρον ἐν εὐπορίᾳ· ὑδρό-
μον ἐστί, πρεσβύτεροι οἱ δὲ ἐπιγενόμενον τοιοῦ-
παχὺ κυανοῦν τον οὖρον ἐκ πολλοῦ χρόνου, καλόν· ὡς ἐπὶ τὸ
πολὺ γὰρ ἐστὶ τὴν κύστιν ἀπαλλαγῆναι· διὰ τέλους δὲ
τοιαῦτα οὖρα οὐρούμενα σημαίνει, κατὰ ταῦτα
η ἀλήθειαν· ὄγδοον, παχὺ κυανοῦν· οἱ τοῦτος
παχὺ χλωρ ἀνίσταται· καὶ διὰ τέλους τοιοῦτον οὐρούμενον,
θ ἐστὶ ἴκτερον· ἔνατον, παχὺ χλωρόν· τὸ τοιοῦ-
παρακοπὴ παχὺ μέλ τον οὖρον ἐν πυρετῷ καθιστάμενον, παρακο-
πὴν ἐστί· ἐν πυρετῷ δὲ κωματώδη σημαίνει στραγγου-
ι ρίαν ἐπομένην· δέκατον παχὺ μέλαν· ἀπὸ
οὗτον οὖρον συνίσταται, δηλοῖ κάθαρσιν τοῦ
μελαγχολικοῦ χυμοῦ ὡς ἐπὶ τῆς παρακμῆς τοῦ
τεταρταίου· καὶ ὡς ἐπὶ τὴν λύσιν τῆς μελαγχολί-
ας· καὶ γὰρ διὰ δύο αἰτίας γίνονται τὰ τοιαῦτα οὖρα·
ἢ γὰρ διὰ ψύξιν, ἢ δι᾽ ὑπερόπτησιν τοῦ αἵματος·
ἀπὸ γὰρ τῶν τοιούτων αἰτιῶν, παχύνεται ἡ τοῦ οὐ-

ερυ σύστασις· καὶ διὰ τοῦτο τὰ μέλανα οὖρα γίνονται
μετὰ παχείας συστάσεως· καὶ ἔτι ἀληθὲς ἐστὶν
ὁ τοιοῦτος λόγος φανερόν· καὶ γὰρ αἱ τρεῖς διαφο-
ραὶ τοῦ μέλανος οὔρου παχεῖαν ἔχουσιν τὴν
τοῦ χύματος σύστασιν, ὡς ἤδη λοιπὸν τεταρταῖος
λυόμενος· ὅτι καὶ ὁ μελαγχολικὸς χυμὸς διὰ τοῦ-
ρων ἐκκρίνεται· οὗτος δὲ ἐκκρινόμενος, φέρει τοῦ
ρα παχύτερον καὶ μέλανον· ὁμοίως καὶ τοῦ μελα-
γχολικοῦ νοσήματος λυομένου· τότε δι' οὔρων
ἐκκρίνεται τὸ αἴτιον τῶν ποιησάντων μέλανα ὄ-
περ ἐστὶν ὁ μελαγχολικὸς χυμός· ὃς ἐστὶ τῷ
μὲν χρώματι μέλας· τῇ δὲ συστάσει γεώδης·
καὶ παχύς· καὶ διὰ τοῦτο ποιεῖ τὰ οὖρα, καὶ
παχέα καὶ μέλανα· ὡσαύτως καὶ τὰ ἐξ ὑπερόπ-
τήσεως τοῦ αἵματος γινόμενα οὖρα παχέα εἰ-
σὶ τὴν σύστασιν διὰ τὴν ἐν τοῖς ἀγγείοις ὑγρῶν τῶν
ἔργῳ τῆς πράξεως· ἔτι δὲ τὰ τοιαῦτα οὖρα φερό-
μενα· μετὰ φρίκης ὀδύνης κεφαλῆς τραχήλου
καὶ νώτου καὶ δυσπνοίας· εἰσὶ πονηρὰ διὰ τὴν
ὑπερόπτησιν· τοιοῦτον δὲ οὖρον ἐρχόμενον ἐν ὀ-
ξέσι πυρετοῖς μετὰ δυσωδίας μηδὲν καλὸν
ἔχουσι πρὸ τῆς κρίσεως· ἔτι τὸν θάνατον· καὶ ταῦ

ται καὶ περὶ τῆς συμπλοκῆς τῆς παχείας συστά-
σεως μεθ᾽ οἵων χρωμάτων δυνατὸν συστῆναι· καὶ τί
τοῦτον ἕκαστον σημαίνει· καὶ πῶς αἱ τούτων αἰτίαι
ἐπιγραφή γίνονται· λοιπὸν χρὴ καὶ ἐπὶ διαγράμματος
περὶ παχέος χύματος. ἐκθέσθαι ταῦτα· παχὺ λευκόν· παχὺ γαλακ-
τῶδες· παχὺ χαροπόν· παχὺ ἐρυθρόν· παχὺ
ὑπέρυθρον· παχὺ πελιδνόν· παχὺ οἰνωπόν·
παχὺ κυανοῦν· παχὺ χλωρόν· παχὺ μέλαν·
καὶ ταῦτα τὰ χρώματα τὰ δέκα, μετὰ παχείας συ-
στάσεως τοῦ χύματος συνιστάμενα· λοιπὸν λε-
κτέον εἰπεῖν, καὶ περὶ τῆς συμμέτρου συστάσεως· πε-
ρὶ γὰρ τῆς παχείας καὶ λεπτῆς συστάσεως τοῦ χύ-
ματος καὶ μεθ᾽ οἵων χρωμάτων συνίσταται, ἀρκούντως
εἰρήκαμεν· καὶ διὰ τοῦτο λέγομεν ἄρτι, περὶ τῆς
συμμέτρου συστάσεως τοῦ χύματος μεθ᾽ οἵων χρω-
μάτων καὶ αὐτὴ δυνατὸν συνελθεῖν· φησὶ γὰρ ὁ
γαληνός γαληνὸς ἐν τῇ περὶ κρίσεων αὐτοῦ πραγματείᾳ·
ὅτι τὸ ὑπόξανθον χρῶμα καὶ τὸ πυρρόν, συνίσταται
μετὰ συμμέτρου συστάσεως· καὶ οὕτως ὁ γαλη-
μάγνος νός· ὁ δέ γε μάγνος φησίν· οὐχὶ τὸ ξανθόν· ἀλ-
λὰ τὸ πυρρόν· ὁ δέ γε θεόφιλος τὸν γαληνὸν προ-
θεόφιλος κρίνει λέγων καλῶς· διὰ τὸ μὴ μόνον τὸν λόγον

αὐτὸν εἶναι ἰατρόν, ἀλλὰ καὶ τὴν πεῖραν· καὶ κατ᾽ ἀμ-
φότερα εἶναι ἄριστον· καὶ ταῦτα καὶ τὰ ὑπὸ τούτων
λεγόμενα μὴ μόνον δέον ἐστὶ καὶ θέσθαι τὸ διάγραμ-
μα τῶν χρωμάτων τῶν δηλουμένων οὐ στῆ-
ναι μετὰ τῆς συμμέτρου συστάσεως· σύστασις
σύμμετρος, χρῶμα ὑπόπυρρον· πυρρὸν καὶ ὑ-
πόξανθον· πλὴν ἄρτιος δέον εἰπεῖν καὶ περὶ συ-
στάσεως ἐν τοῖς ὑγιεινοῖς σώμασιν ἢ νοσοῦσι· καὶ ὅ-
σαι προγνώσεις ἐξ αὐτῶν δεῖ ἅπαντα ἀποτελεσθῆ-
ναι· εἴτε ἐπινοσώδεις· εἴτε ὑγιεινοί· εἴτε μέσοι·
δεῖ δὲ ζητηθῆναι τὸ παρυφιστάμενον καὶ τὰς συ-
στάσεις καὶ τὰ χρώματα· ἵνα τελεία ἡ ὑφ᾽ ἑτέρων πραγ-
ματεία γένηται· ἄξιον δὲ πρότερον διῆξαι τὴν κα-
τασκευὴν τῆς ἀρίστης ὑποστάσεως πῶς γίνεται·
εἰ γὰρ καὶ πολλάκις εἴρηται, οὐ θαυμαστόν· δέον
δὲ διὰ τοὺς εἰσαγομένους βασανίσαι τὸν λόγον·
καὶ ὁ μὲν Ἱπποκράτης περὶ αὐτῆς τάδε φησίν· ὅτι οὖρον περὶ ὑποστάσεως
ἄριστόν ἐστιν· ὅταν ἡ ὑπόστασις αὐτοῦ ἐστι, τῷ
μὲν χρώματι λευκή· τῇ δὲ συστάσει, σύμμε-
τρος καὶ λεία· τουτέστιν ἵνα ᾖ ζωχῆς· ἀλλὰ
μὴ διεσπασμένη· ὁμαλὴ δέ, ἵνα παρὰ πάντα
τὸν χρόνον ᾖ ἡ τοιαύτη· καὶ ὁ μὲν Ἱπποκράτης ἐπὶ τοῦ κρ

τοιοῦτος τὸν ὁρισμὸν, τοῦ ἀρίστου οὔρου ἀπεφή-
νατο. ἔστι δὲ ὁ λόγος τοῦ τελείου· καὶ ἀρίστου καὶ κατὰ φύσιν
οὔρου ὁ ὁρισμὸς οὗτος. οὖρον ἄριστόν ἐστι· τὸ ἔ-
χον παρυφιστάμενον· τῷ μὲν τόπῳ, ἤγουν ἢ κα-
τω ἐν τῷ πυθμένι τοῦ ὑελίνου ἀγγείου· ὅ τε καὶ ὑ-
πόστασιν λέγεται, διὰ τὸ ὑποκάτω ἵστασθαι.
τῷ δὲ χρώματι λευκή· τῇ δὲ συστάσει, σύμμετρον
λεῖον· τουτέστιν, ἴσον μὴ διεσπασμένην· ἀλλὰ
συνημμένην. τῷ δὲ χρόνῳ εἶναι καὶ δι' ὅλου, τοιοῦ-
τον. τῷ δὲ χρώματι τοῦ χύματος πυρρὸν ἢ ὑπό-
ξανθον. ὑπόξανθον γάρ φημι, τὸ ὀλίγον μετέ-
χον τοῦ ξανθοῦ. ὥστε ἀναγκαῖόν ἐστιν ὁρᾶν ἐν τῷ
οὔρῳ, ταῦτα τὰ τέσσαρα· σύστασιν ὑπόστασιν, χρῶ-
μα καὶ χρόνον, ὅσα οὖν οὖρα εὑρίσκονται ταῦτα
τὰ τέσσαρα ἔχοντα, εἰσὶ κατὰ φύσιν καὶ ὑγιεινά.
ὅσα δὲ οὖρα εὑρίσκονται ἀπὸ τούτων ἐξιστάμενα
καὶ ἐκτρεπόμενα ἤτε ἐν ἑνί· ἤτε ἐν δυσί· ἤτε τρισὶν·
ἢ καὶ τοῖς τέσσαρσιν, κατὰ τοσοῦτον ἐξέστι τὸ οὖρον·
καὶ νοσῶν ἐκ τοῦ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν.
καὶ ἐκ τοῦ ὑγιεινοῦ ἐπὶ τὸ νοσῶδες καὶ νοσερόν. ὑπο-
θώμεθα ὡς οὖρον, ἐλλεῖπον ἐκ τῶν εἰρημένων
τεσσάρων τὸ πάντων ἔσχατον ὅπερ ἐστὶ τὸ ὁμαχ.

ἐὰν σύστασις ὑπόστασις χρῶμα καὶ χρόνον:

ἢ τὰ λοιπὰ τρία ἂν ὦσι μὲν κατὰ φύσιν μένοντα·
οἷον τῶν μὲν τὸ πῶς ἐστὶ κάτω· τῇ δὲ συστάσει τοῦ
παρυφισταμένου, ἐστὶ λεῖον· τουτέστιν συνημ-
μένον καὶ μὴ διεσπασμένον· τὸ δὲ χρῶμα
ἐστὶ λευκόν· τὸ δὲ τέταρτον ὅπερ ἐστὶ τῷ χρόνῳ
ἀνώμαλον· τουτέστι, σήμερον φαινόμενον
τοιοῦτον· αὔριον δὲ μὴ τοιοῦτον· τὸ τοιοῦτον οὖ-
ρον ἐπ' ἀσθενείᾳ ἂν δυνάμεως· διότι ἡ οἰκεία
δύναμις οὐκ ἴσχυσεν ἀπαρτίσαι· λέγω δὲ τὰ δι-
ταῦτα πέψαι· ἀλλὰ ἀπὸ τούτων τῶν τεσσάρων παρέ-
λειπε τὸ ὕστατον ἄπεπτον· πάλιν τρέψομεν τὸ
λεῖον· ὥστε εἶναι τὰ ἐκτρεπόμενα δύο· ὧν ἓν μὲν τὸ
ἀνώμαλον· καὶ ἄλλο τὸ οὐ λεῖον· τοῦτο τοῦ προτέ-
ρου ἀσθενέστερον· δύο γὰρ φύσεις ἀπέλειπεν ἡ φυ-
σικὴ δύναμις· οὐ μόνον γὰρ τὸ ὁμαλὸν ἀπέβαλ-
λε τό, ἀλλὰ καὶ τὸ λεῖον· ὥστε μὴ εἶναι ὁμαλὸν
καὶ τοιοῦτον παρὰ πάντα τὸν χρόνον· τουτέστιν
καὶ σήμερον καὶ αὔριον καὶ ἑξῆς· ἀλλὰ καὶ οὐ λεῖον·
τουτέστι διεσπασμένον καὶ μὴ συνεχές· διασπᾶ-
σθαι δὲ λέγομεν, διότι πολλάκις ταχὺ παρεμ-
πῖπτον διὰ μέσου, συνέσπασεν τὰ συνεχῆ αὐ-
τὰ καὶ οὐκ ἐάσουσιν αὐτὰ συνημμένα εἶναι· τὸ δὲ πολ-

μαι γίνεται διὰ τὴν ἀπεψίαν· ἀρχὴ γὰρ τροφῆς κα-
κῶς διοικουμένης, ἐμέτων δὲ μάλιστα ὥσπερ ὡς ὁ γαληνός
φησι· διὰ δ' οὖν ταύτας τὰς αἰτίας τὸ ἀπολειπό-
μενον οὖν ἔργον τῶν δύο, ἀπεπτότερόν ἐστι τοῦ ἀπο-
λειφθέντος ἑνός· πάλιν συναλλάξωμεν τὰ εἰρημένα·
καὶ ποιήσωμεν τὸ ἔργον, οὐ λεῖον μὲν διεσπασμένον
δέ· ὅπερ ἦν δεύτερον· καὶ τὸ πρότερον ὅπερ ἦν ἀ-
νώμαλον, ὁμαλὸν ποιήσωμεν· τὸ τοιοῦτον οὐρ
καλόν, διὰ τὸ μὴ εἶναι πολὺ συνῳδὸν καὶ μὴ διωκό-
μενον· τὴν φυσικὴν δύναμιν πέψαι καὶ διαφορῆ-
σαι αὐτό· εἰ δὲ ἔχει τὸ ἔργον λεῖον καὶ ἀνώμαλον,
τοῦτο τοῦ προτέρου κρεῖττον· διότι οὐ δι' ὅλου ἐστὶν δι-
εσπασμένον, ἀλλὰ σήμερον μὲν φαίνεται διεσπασ-
μένον· αὔριον δὲ οὔ· ἀλλὰ συγκεκριμένον· τὸ οὖν μὴ
διηνεκῶς φαινόμενον ἔχειν ἀπεψίαν, κρεῖττόν ἐστι
τοῦ διηνεκῶς ἔχοντος· διὰ δὲ τὴν ἀπεψίαν, πάλιν μᾶλλον
παχὺ συνέσπασε τὴν συνέχειαν ὡς εἴρηται· διὸ αὐ-
τὸ ἴδιόν τε· ἢ ἐπὶ τοῦ διαλείποντος σφυγμοῦ· καὶ
γὰρ ὁ διαλείπων σφυγμὸς ἐὰν εἰς πολλὰς ἡμέρ(ας)
ὁ αὐτὸς διαμείνη, μείζων ἐστὶ τὸ κακόν· παρὰ τὸ
τὸ καθ' ἑκάστην συναλλάττεσθαι· ὅπερ ἐστὶ τὸ ἀνώ-
μαλον· καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς ἀρ

ὁρᾶς ἐνταῦθα τὸ ἀμφίβολον:
ὁρᾶς ἐνταῦθα τὸ ἀμφίβολον:

καὶ τὰ εἰρημένα· πάλιν ἐστὶν ἄλλη σύμπτωσις καὶ ἔ-
χοις αὐτὸ περιφιστάμενον λαμπρὸν καλοῦμεν· ὁ τόπος δὲ
ἐν τῷ μέσῳ καλούμενος ἐναιώρημα· ἔστω δὲ τὸ
τοιοῦτον οὖρον λεῖον· τοῦτ' ἔστιν συνημμένον καὶ
οἷον ἐχέκολλον ὁμαλὸν παρὰ πάντα τὸν χρόνον τοι-
οῦτον φαινόμενον· τὸ τοιοῦτον ἐστὶ μέσως ἄπε-
πτον· ὅτι οὐκ ἴσχυσεν ἡ φύσις πέψαι αὐτὸ ἵνα
τὸν κάτω τόπον καταλάβῃ καὶ γένηται τῶν πεπεμ-
μένον· ἀλλὰ περιουσίᾳ πνεύματός τινος πα-
ρεμπεσόντος, ἐκούφισεν αὐτὸ καὶ περὶ τὴν μέσην
χώραν διήγαγεν· εἰ δὲ πολλάκις πολὺ τὸ παρεμ-
πεσὸν πνεῦμα εἴη καὶ ὠθῇ τὸ περιφιστάμενον·
ἀπὸ δὲ τῆς μέσης χώρας ἀναγάγῃ αὐτὸ ἐπὶ τὸν ἄνω
τόπον, καλεῖται τὸ τοιοῦτον νεφέλη ὡς πρότερον
εἰρημένα ἀπὸ μεταφορᾶς τῶν νεφῶν· νέφος
γὰρ τὸ μέγα· νεφέλη δὲ τὸ μικρὸν νέφος· αὕτη
οὖν ἡ νεφέλη ἐπιπολέων ἐπιφανεῖσα κατὰ τὸν
ἄνω τόπον λαμπὴ οὖσα ἐν πυρετοῖς ἢ ἀφροὺς ἔ-
χουσα· πονηρὸν πέρας ἀγγέλλει· χολώδεις γὰρ χυ-
μοὺς ὡς ἐπὶ τὸ πολὺ παρεγγυᾶται σημαίνειν· ἔτι ἐ-
ὰν ἐν πυρετῷ οἷον χθαμαλὸν οὖρον νεφέλην λευκὴν περὶ νεφέλης ἀνιο
ἔχον, καὶ ἀφρούς, καὶ τοῦτο πονηρόν· δηλοῖ γάρ

τὸ δεξιὸν ὑποχόνδριον ὀδυνᾶσθαι. πάλιν ἐὰν
πυρετοῖς καυσώδεσιν οὐρηθῶσιν οὖρα νεφέλας
μέλανας ἔχοντα, εἰς τεταρταῖον μεθίστανται. ἡ
δὲ οὐδόλως ἐστὶ πνεῦμα τὸν κάτω λαμβάνει τό-
πον. καὶ δηλοῖ τελείαν τὴν πέψιν. ὅτι ἡ ὑπόστασις
ἐστὶ κατὰ φύσιν. τὸν κάτω τόπον τοῦ πυθμένος κατέ-
χουσα. ὥστε φανερὸν ἐκ τῶν εἰρημένων ὅτι ὅσα
περὶ ἐναιωρήματος καὶ νεφέλης εἴρηται, τοσαῦτα
χρὴ νομίζειν εἰρῆσθαι καὶ περὶ ὑποστάσεως. τῇ
θέσει γὰρ μόνον διαλλάττουσιν ἥ τε ὑπόστασις καὶ
τὸ ἐναιώρημα καὶ ἡ νεφέλη. ὅθεν φανερὸν ὅτι
ἐκ τούτου τοῦ τόπου πλέον οὐδὲν μανθάνομεν. ἡ μὲν τὰς
σημασίας τῶν δηλουμένων καθὼς εἴρηκα μὲν ἄνω-
θεν. ἐναλλαττέσθω οἷον τὸ λευκὸν χρῶμα τοῦ ὑ
φισταμένου καὶ γενέσθω μέλαν. καὶ ἡ μὲν ἐν νεφέ-
περὶ μελαίνης χρώματος:
λῃ τὸ μέλαν χρῶμα ἔχει, ἀμυδρὸν τὸ κακόν. ἡ δὲ ἐν
ἐναιωρήματι, μεῖζον τὸ κακόν. εἰ δὲ ἐν τῇ ὑποστάσει,
ὅτι μεῖζον καὶ τέλειον τὸ κακόν. ὁμοίως δὲ καὶ τὸ λευκὸν
χρῶμα. ἐὰν ἔχῃ τὸ ὑφιστάμενον λεῖον καὶ ὁμα-
λόν, ἀγαθὸν δηλοῖ. ἐὰν δὲ ἐν νεφέλῃ λευκὸν γένηται,
ἀμυδρὸν σημαίνει τὸ ἀγαθόν. ἡ δὲ ἐν τῷ ἐναιωρή-
ματι. μᾶσσον ἐστὶ τὸ ἀγαθόν. ἐὰν δὲ ἐν ὑποστάσει, τέ-

λεῖον καὶ μᾶζον ἐστὶ τὸ ἀγαθόν· καὶ περὶ μὲν οὖν
τῶν τριῶν τόπων, ἱκανὰ τὰ εἰρημένα· λοιπὸν
λείπεται εἰπεῖν καὶ περὶ τοῦ χρώματος· γενέσθω
δὲ τὸ κατὰ φύσιν χρῶμα ἐμηλαμένον καὶ μὴ
ἔστω λευκὸν ἢ ἀκραμέλαν· ἢ πελιδνόν· ἢ ὠχρόν·
ἢ ὑπέρυθρον· ἢ ἐρυθρόν· τὸ οὖν ὑπέρυθρον, γίνε-
ται ἀπὸ αἵματος ἰχωρώδους ὡς ἀνωτέρω εἴρηται·
καὶ σημαίνει ἀπεψίαν ἀλλ᾽ οὐ θάνατον· τὸ δὲ ἐ-
ρυθρόν, γίνεται ἀπὸ αἵματος καθαροῦ· καὶ σημαίνει
πέψιν· κἂν εἰ μὲν ᾖ σύμμετρον μήτε πλεονασ-
μὸν ἔχον· μήτε ἔνδειαν μετριώτατον· τὸ δὲ ὑπε-
ρυθρον ὅτι οὐκ ἐπάγει κίνδυνον· καὶ ὅτι ἀπεψίαν
σημαίνει δηλοῖ τὸ οἰκεῖον τῆς ὕλης· οἰκεῖον δὲ τῆς
ὕλης τὸ αἷμα· ὅπερ οἰκεῖον φίλον τῇ φύσει, κίνδυνον
οὐκ ἐπάγει· ὅτι δὲ ἀπεψίαν σημαίνει, δηλοῖ ὅτι
τοῦ αἵματος ὁ ἰχώρ· ὁ δὲ ἰχώρ ἐστιν ἀπεπτότερον αἵ-
ματος· τὸ δὲ αἵματος ἄπεπτον, ἀπεψίαν σημαίνει·
καὶ τοῦτο φανερὸν ἐκ τῶν ῥηθησομένων· ὃ γὰρ αἷ-
μα ἐστὶ χυμός· καὶ τῶν χυμῶν εἷς· τῶν δὲ χυμῶν,
οἱ μέν, πρὸ τοῦ αἵματος γίνονται ὡς τὸ φλέγμα·
καὶ ὁ ἰχώρ· οἱ δέ, μετὰ τὸ αἷμα ὥσπερ ξανθὴ χο-
λὴ καὶ ὁ μέλας χυμός· τὸ δὲ αἷμα τὸ καθαρώτα-

ἤτοι τῶν χρωμάτων ἐναλλαγή· ὑπέρυθρον·

τον, ἐν τῷ μέσῳ ἀμφοτέρων τούτων γίνεται. ὅτε
οὖν ὑπέρυθρον τὸ οὖρον γένηται, τότε σημαίνει
ὅτι ἀπὸ ἰχωρώδους αἵματος ἔχει τὸ χρῶμα.
ὁ δὲ ἰχὼρ, πρὸ τοῦ αἵματος γίνεται. καὶ διὰ
τοῦτο σημαίνει ἀπεψίαν ὅτι οὔπω τελείαν τὴν
βαφὴν ἐπεδείκνυεν ἡ φύσις τῷ ἰχῶρι. ὅτι οὔπω
ἐπέφθη. διὸ χρήζει ἡ φύσις χρόνων πρὸς πέ-
ψιν τοῦ ἰχωρώδους αἵματος. καὶ οὕτως μὲν τὸ ὑ-
πέρυθρον γίνεται. καὶ οὕτως σημαίνει ἀπεψίαν,
διὰ τοῦτο δεῖται χρόνου πρὸς πέψιν. τὸ δὲ ἐρυθρὸν
ἐρυθρ(όν) .. παρυφιστάμενον δηλοῖ κρίσιν ἑπομένην ἐν ἡ-
μέρᾳ ζ΄. ἐὰν δὲ τῇ τετάρτῃ ὑπονέφελον τὸ οὖρον
γένηται. χρῶμα ἐρυθρὸν τῆς νεφέλης ἐχούσης
καὶ τὰ ἄλλα τὰ τῆς πέψεως σημεῖα ἔχει, τὴν πέ-
ψιν. καὶ ταῦτα περὶ τοῦ ἐρυθροῦ καὶ ὑπερύθρου
.. χρώματος τοῦ παρυφισταμένου. τὸ δὲ πελιδνὸν
πελιδν(όν) ψύξιν καὶ νέκρωσιν τῆς δυνάμεως δηλοῖ ἐν ὀξέσι
δὲ πυρετοῖς οὖρον πελιδνὸν ὑπόστασιν ἔχον, τὰς
χλωρ(όν) τὴν ἐπιοῦσαν, οὐ καὶ κίνδυνον. τὸ δὲ χλωρὸν δη-
λοῖ πολλὴν θερμότητα. καὶ κακοήθειαν τοῦ νοσή-
ματος. τὸ δὲ ὑπομέλαν οὖρον. ὑπομέλαν οὖρον
ὑπόμελ(αν): λέγω, τὸ ἀπολειπόμενον τοῦ μέλανος. τὰ τοι

αὐτὰ ὑπὸ μέλανα ἀέρα ἐν πυρετῷ καυσώδει· ἐνεω-
ρημένα τὰ ἔχοντα μετέωρα· ἀσίπτρα περιθυσῖ καὶ ἐν
ὥστε τὰ πολλὰ τούτοις αἱμορραγίαν ἀναφαίνεσθαι ἐπιγί-
νεσθαι· καὶ κρίσιν σὺν ῥίγει μετὰ ἱδρώτων· τοῦ
μέλανος διὰ τὴν ψῦξιν καὶ θερμότητα· καὶ γὰρ ὅτε προ-
ηγήσεται τὸ ἐρυθρὸν ἐπιλίδνον καὶ ἐπακολουθήσει μέλαν,
τότε καὶ ἀπὸ θερμότητος μέλαν ἐγένετο· ἢ ταῦτα πε-
ρὶ τοῦ μέλανος αἵματος. ἐπειδὴ δὲ τὸ λευκὸν χρῶ-
μα τῆς ἀγαθῆς ὑποστάσεως ὡς τῆς ταύτης εἶναι ση-
μεῖον· οὐ χρὴ πάντη τῷ χρώματι πιστεύειν λευκῷ
ὅτι καὶ ἀγαθῆς ὑποστάσεως ἐστὶ σημεῖον· διότι τὸ
λευκὸν χρῶμα, πολλάκις καὶ ἀπὸ φλέγματος
εἶναι τὴν τούτου λευκότητα δι' ἔγνωμεν· καὶ διὰ τοῦτο ἀ-
πλέως ἀγαθὴν ὑπόστασιν οὐκ οὖσαν καὶ τὸ ἐμπροσθεν·
ἐστὶ δὲ ὁ μὲν χυμὸς ὁ τὴν τοιαύτην φαντασίαν ἐνδει-
κνύμενος τῆς ὑποστάσεως· καὶ διὰ τοῦτο δὴ προ-
σέχειν ἀκριβῶς τοὺς τὴν ἰατρικὴν τέχνην μετ-
ερχομένους· ὡς ἱκανὸν εἶναι τὴν τοιαύτην φαν-
τασίαν τοῦ φλέγματος. ἰστέον δὲ ὅτι καὶ τὸ πύον [τὸ περὶ πύου:]
ἔχον καὶ αὐτὸ χρῶμα λευκὸν εἰκότως ἀπατᾷ καὶ
πείθει ὡς ἀγαθὴν ὑπόστασιν· τινὰς ὀνομάζειν ἔχειν
αὐτό· ἀλλ' οὐχ οὕτως ἔχει· πῶς διορίζεται τοῦτο –

δηλονότι ὑδατῶδές ἐστι· φέρεται δὲ τὸ τοιοῦτον· τῶν
νεφρῶν ἑλκωθέντων· ἢ τῆς κύστεως· ἢ τοῦ ἥπατος·
ἢ τινὸς ἑτέρου μορίου, τὸ γὰρ πῦον ὡς ὁ Ἱπποκράτης φη-
σί, διὰ οὔρων ἐκκρίνεται· λέγει γάρ· ἐπὴν αἷμα καὶ πῦ-
ον οὐρηθῇ τῶν νεφρῶν ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει·
καὶ πάλιν ὁκόσοισιν ἐν τῇ οὐρήθρᾳ φύματα φύ-
εται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος,
λύσις ἐστὶ τοῦ πύου· δηλονότι διὰ τοῦ οὔρου ἐκκρινο-
μένου· καὶ τὸ μὲν πῦον, ὃ δὴ καὶ διορίζεται τῆς ἀ-
γαθῆς ὑποστάσεως· ὁ δὲ ὠμὸς χυμὸς, τῇ ἀνωμά-
λῳ συστάσει διορίζεται τοῦ παρυφισταμένου· οὐ
γὰρ ἐστὶ συνεχὲς τὸ παρυφιστάμενον τοῦ ὠμοῦ χυ-
μοῦ· οὐδὲ διαλυόμενον ἐστὶν ἀλλ' ὡς μικρὰ ψακκία·
καὶ ταῦτα ἱκανὰ πρὸς διάκρισιν τοῦ τε πύου καὶ τοῦ
ὠμοῦ χυμοῦ· καὶ τοῦ λευκοῦ παρυφισταμένου· φη-
σὶ γὰρ ὁ Ἱπποκράτης· ἐπὴν αἷμα καὶ πῦον οὐρηθῇ καὶ λεπίδας
καὶ ὀδμὴ βαρεῖα ᾖ· σημαίνει ἕλκωσιν ἢ τῶν νεφρῶν
ἢ τῆς κύστεως· ἐπεὶ δὲ τέσσαρα ἐζητοῦμεν ἐπὶ τοῦ
παρυφισταμένου· χρῶμα χρόνον· σύστασιν·
καὶ τόπον, δέον ἐκθέσθαι τὰ τοιαῦτα τέσσαρα ἐ-
πὶ διαγράμματος· ὅπως σαφὴς καὶ εὐδιάγνω-
στος γένηται· περὶ τῶν οὔρων, διδασκαλία· δι-

άγραμμα περιέχον τὰ εἰρημένα δῆλον, ὡς ὑποτέ-
διάγραμμα περὶ ὑποστάσεων·
τακται· ὑπόστασιν λευκὴν λείαν ὁμαλή· β'· ὑ-
πόστασιν λευκή· λεία· γ'· ἀνώμαλος ὑπόστασιν,
λευκή· οὐ λεία· ὁμαλή· δ'· ὑπόστασις λευκή·
οὐ λεία, ἀνώμαλος· καὶ αὗται εἰσὶν αἱ τέσσαρες
ἀρχαὶ τοῦ παρυφισταμένου ἐν τῷ διαγράμμα-
τι· ἐπειδὴ δὲ τὸ παρυφιστάμενον εἴπομεν ἔχειν τό-
πους τρεῖς· καθὼς καὶ τὸ φαινόμενον δηλοῖ· καὶ γὰρ
ἢ τὸν κάτω τόπον ἐπέχει τοῦ ὑελίνου ἀγγείου καὶ
ὀνομάζεται ὑπόστασις ὡς ὑποκάτω ἱσταμένη, ἢ
περὶ τὸ μέσον κρέμαται καὶ ὀνομάζεται ἐναιώ-
ρημα, ἢ τὸν ἀνώτατον τόπον ἐπέχει, καὶ ὀνομά-
ζεται νεφέλη· εἴπωμεν καὶ τὰς αἰτίας αὐτῶν· λέγω
δή· τὸ δι' ἅπερ τοὺς αὐτοὺς τόπους ἐπέχουσιν· εἰρήκα-
μεν δὲ καὶ τὰ ὑπὸ τούτων σημαινόμενα· καὶ ἐπὶ δι-
αγράμματος ἐξεθέμεθα τοῦ κάτω τόπου· τουτέ-
στι τῆς ὑποστάσεως· λοιπὸν ὁροῦμεν τὰς διαφορὰς
τοῦ ἐναιωρήματος ἐπὶ διαγράμματος, λέγοντες
διάγραμμα
οὕτως· α'· ἐναιώρημα λευκὸν λεῖον ὁμαλόν· β'·
περὶ ἐναιωρη-
ἐναιώρημα λευκὸν λεῖον· ἀνώμαλον· γ' ἐναιώρη-
μάτων·
μα λευκὸν· οὐ λεῖον· ὁμαλόν· δ'· ἐναιώρημα λευ-
κὸν οὐ λεῖον· ἀνώμαλον· τρίτον δέ ἐστιν ἡ νεφέλη·

ἡδέον ἦν ταύτης τὰς διαφορὰς ἐπὶ διαγράμματος –
ἐκθέσθαι· ἧς τὸ διάγραμμα ἔχει ὡς ὑποτέτα-
κται· α΄· κεφάλαιον· λγ΄· β΄· κεφάλαιον λδ΄·
ἀνώματος· καὶ περὶ μὲν τῶν συμπλοκῶν τῶν δι-
αφορῶν τῶν τριῶν ὑποστάσεων, ἀνέλαβεν ὡς εἰρή-
καμεν· καὶ ἐπὶ διαγράμματος ἐξεθέμεθα·
τί δὲ τούτων ἕκαστα ἐστὶ προϊὼν ὁ λόγος διδάξει·
ἐπεὶ δὲ τὸ ἀνθρώπινον σῶμα συνίσταται ἀπὸ τῶν τριῶν
τούτων· στερεῶν μορίων, ὑγρῶν· καὶ πνευμάτων·
ἀφ' οὗ ὁ Ἱππ(οκράτης) φησίν· ἴσχοντα· ἰσχόμενα· καὶ ἐνορ-
μῶντα· ἴσχοντα λέγων, τὰ μόρια τὰ στερεά· ἰσ-
χόμενα τὰ ὑγρά· ἐνορμῶντα, τὰ πνεύματα·
τούτων, τὰ ὑγρὰ εἰσὶν οἱ χυμοὶ καὶ τὰ περιττώματα·
καὶ τούτων ὁ (ἐστὶ παρὸν) δι' οὔρων ἐκκρίνεται)· περὶ ὧν,
ἱκανῶς ἐξεθέμεθα· νυνὶ δὲ ἀπὸ μέρους τὰ ἐκ τῶν στερ(εῶν),
μορίων ἐξουκλούμενα· ἵνα καὶ ἐλθάτω τῶν οὔρων ἡ
διδασκαλία γένηται· ἐπεὶ δὲ καὶ αὐτῶν τῶν στερεῶν
μορίων εἰσί τινα μαλακώτερα καὶ ῥᾳδίως τηκό-
μενα ὡς ἡ πιμελὴ καὶ ἡ σάρξ· ἅπερ μαλακώτερα
καὶ εὐκολώτερα τῶν ἄλλων στερεῶν μορίων εἰσί· καὶ ὡς
μαλακώτερα καὶ εὐκόλως καὶ ῥᾳδίως τηκόμενα,
ταῦτα πρῶτον ὁ πυρετὸς τήκει· ἀναλύει γὰρ πρῶτ(ον)·

τὴν πιμελὴν ὡσεὶ διάχυτον· ἢ μετ' αὐτὴν τὴν σάρ-
κα· τῆς δ' οὖν πιμελῆς τηκομένης ὑπὸ τοῦ πυρετοῦ·
καὶ ἀναλυομένης εἰς ἐλαίου σύστασιν καὶ χροιὰν,
ἡ θερμασία μεταβάλλει· διότι δὲ ταύτην ἡ πιμε-
λὴν, οὐκ ἀθρόως ἀναλύεται· ἀλλ' ἔχει ἀρχὴν
καὶ ἀνάβασιν καὶ ἀκμὴν τῆς συντήξεως· δέον ἡ-
πᾶν· ἡμᾶς καὶ τὴν διάκρισιν ἑκάστου καιροῦ ἔχειν
ἀναβάσεως καὶ ἀκμῆς, τῶν ἐλαιωδῶν οὔρων·
ὧν ἐξ ἀρχῆς τὰ ἐλαιόχροα· τῆς δ' αὐξήσεως,
τὰ ἐλαιοφανῆ· τῆς δ' ἀκμῆς, τὰ ἐλαιώδη· ἡ δ'
ἀρχὴ, τῶν ἀρχῶν τῆς συντήξεως δηλοῖ· φαίνεται
γὰρ ὥσπερ ὑδατώδη· τὰ δὲ ἐλαιοφανῆ τὰ ἐν τῇ
αὐξήσει τοῦ καιροῦ γενόμενα οὖρα, δηλοῖ αὐτὴν
τοῦ ἐλαίου μῖξιν ἀκριβεστέραν ἐμφαίνοντα πρὸς
τὸ ὑδατῶδες τοῦ οὔρου· τὰ μέντοι ἐλαιώδη τὴν
ἀκμὴν ἐμφαίνει τοῦ καιροῦ· τὰ δὲ τοιαῦτα οὖρα,
ὅλα δι' ὅλων οἷον ἔλαιον ἐστίν· χρῶμα γὰρ καὶ σύ-
στασιν ἐλαίου ἔχουσιν· καὶ ἕκαστον αὐτῶν ἐλαίου
χρῶμα· δοκοῦσιν εἶναι τὰ ἐλαιώδη· τοιοῦτον οὖρον
ἐν πυρετοῖς ἐλθὸν ἐλαιῶδες ὑπόμελαν, μαρασμὸν
δηλοῖ καὶ θάνατον ἐστίν· εἰ δὲ πιμελῆς, ἢ κα-
θολικῶς· ἢ τὶς κατὰ πολλὰ μόρια τοῦ σώματος κα

περὶ ἐλαιωδῶν χρωμάτων

τε ἀπαρτᾶται· ἔστι δὲ καὶ μορικώτερα ἢ ἐν τοῖς μέρεσι
τῶν νεφρῶν ἐπικειμένη· αὕτη οὖν ἐν τοῖς νεφροῖς
οὖσα ἀναλυομένη, καὶ διὰ οὔρων ἐξερχομένη ἀ-
θρόως, κατὰ πάντα ὁμώνυμα· ἀθροωτέρα γὰρ ἡ διέ-
ξοδος ταύτης γίνεται περὶ τὴν ἐν ὅλῳ τῷ σώματι
κατεσπαρμένην τὰ λόγῳ τῆς νεφρῶν συνουσίας·
ἡ γὰρ ἐν τοῖς νεφροῖς πιμελὴ σύνεγγυς τῶν οὐρητή-
ρων ἐστί· διὰ τοῦτο καὶ εὐθυβόλως διέρχεται ὡς
προλέλεκται· περὶ ὧν ὅτι Ἱπποκράτης ἐν ἀφορισμοῖς τὰς
αὐτῶν διαφορὰς γράφων, οὕτω φησίν· ὁπόσοι-
σι λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόα, τουτέοισιν νε-
φριτικό· ὅτι τῆς τῶν νεφρῶν πιμελῆς
ἀναλυομένης, ἀθρόως φέρεται ἡ λιπαρότης·
καὶ πάλιν ἐν ἄλλοις τὴν ὕλην διαφορὰν δηλῶν,
τάδε φησίν· οὖρα ἐν καυσώδει πυρετῷ παρεὼν
ὑπόστασιν ἔχοντα, θανάσιμον ἐστί· ἄνω δὲ πυρετοῦ
τοιοῦτον φανὲν, παραπληξίαν ἐστί· καὶ περὶ μὲν
τῶν ἐλαιωδῶν οὔρων τῶν ἀπὸ τῆς συντήξεως
Ἐπὶ πεταλωδῶν οὔρων: τῆς πιμελῆς γινομένων, ἱκανὰ τὰ εἰρημένα· αἱ
δὲ πεταλώδεις ὑποστάσεις γίνονται διότι τὰ στερεὰ
μόρια τῶν σωμάτων ἔχουσι τὰς τρεῖς διαστάσεις·
μῆκος, πλάτος καὶ πάχος· ὅ ἐστι βάθος· καὶ τοῦτ[ο]·

ὅσα μὲν οὖν ἐπιπολεύει ἔχονται, ἔχουσιν ὥσπερ πέ-
τινα πέταλα ἐκ τῆς τῶν πετάλων ὀνομασίας τὴν
ἐπωνυμίαν λαμβάνοντα διὰ τὴν ὁμοιότητα τῶν
γινομένων ἐκ τῶν νσεσηπότων σίτων· δηλοῦσι δὲ
τὸ πάθος τῆς κύστεως ἢ τῶν νεφρῶν· τόπω γὰρ
καὶ τοῦτο διορίζεται· καὶ γὰρ εἰ μὲν εἴη πυρετὸς,
τῆς κύστεως τὸ πάθος ἐστί· καὶ διορίζεται τοῦτο
ἀπεψίᾳ καὶ πέψει· καὶ γὰρ ἡ μετὰ ἀπεψίας, τοῦ
ὅλου σώματος κακόν· εἰ δὲ μετὰ πέψεως, μό-
νης τῆς κύστεως τῷ προειρημένῳ τρόπῳ διορίζεται.
ἢ τῆς κύστεως εἴη τὸ πάθος, ἢ τῶν νεφρῶν, ἐὰν
μὴ ἐπὶ πυρετῷ. τὰ δὲ πιτυρώδη γίνονται. ὅταν περὶ τῶν πιτυρωδῶν οὔρων:-
ὁ πυρετὸς καταλάβῃ τὰ βάθη τῶν ἀγγείων, τότε
γὰρ αἱ ὑποστάσεις πιτυρώδεις γίνονται· καὶ εἰσὶν
δερμενέστεραι τῶν πεταλωδῶν· καὶ τὰ τοιαῦτα
κατὰ τὸν αὐτὸν τρόπον ταῖς προειρημέναις ὑποστά-
σεσιν εἰσὶ σημαντικὰ τοῦ εἶναι τὸ πάθος τῆς κύστεως.
ἐὰν μετὰ πέψεως· εἰ δὲ καὶ μετὰ ἀπεψίας, τοῦ
ὅλου σώματός ἐστι τὸ κακόν· εἰ δὲ μὴ μόνης τῆς κύ-
στεως. ταῦτα, ἡμᾶς εἴπομεν ἑπόμενοι τῷ Ἱπποκράτει
λέγοντι· ὁκόσοισιν ἐν τῷ οὔρῳ παχὺ ἐόντι πι-
τυρώδεα συνεξέρχονται, τουτέοισιν ἡ κύστις

ψωρίαν· ἃ δὲ καταλάβῃ ὁ πυρετὸς κατὰ τὰς τρεῖς διαστάσεις τῶν στερεῶν τοῦ σώματος μορίων κατὰ τὸ μῆκος· καὶ πλάτος· καὶ βάθος· ὅ ἐστι πάχος, τὰ τοιαῦτα οὖρα γίνονται· ἀδρομερέστερα τῶν πιτυρωδῶν, καὶ καλεῖται κριμνώδεα· νοῆσαι δεῖ τὸ τοιοῦτον· ἐὰν κουφήσῃς τὴν μύλον τὴν ἀλήθουσαν τὸν σῖτον εἰς ἀδρομερέστερα κόμματα ὀνομαζόμενα κρίμνα· τῶν ἡ ἐπωνυμία, ἐκ τῶν φαινομένων ἐν τοῖς οὔροις· γίνεται δὲ τὰ τοιαῦτα οὖρα, ἢ δι' ἰσχυρὰν σύντηξιν τῶν στερεῶν, ἢ διὰ ὄπτησιν τοῦ αἵματος ὥς φησιν Ἱπποκράτης λέγων· ἐν πυρετοῖς καυσώδεσι· κριμνώδη πολλὰ καὶ ὑπόστασις οὖρον ἔχον, πονηρόν· καὶ πάλιν, ἐν πυρετοῖς χρονίζουσιν οὖρον κριμνώδη ἔχον ὑπόστασιν, ὅλον σωτήριον ὄντως· καὶ ἔτι οὖρον ἐν πυρετοῖς ἐν νεωρήμασι κριμνῶδες ἔχον, ὅλον νόσου μῆκος· καὶ περὶ τῶν ἀδρομερεστέρων τῶν ἐν τοῖς οὔροις γινομένων τε καὶ φαινομένων, ἱκανὰ τὰ εἰρημένα: τὰ δὲ δυσώδη οὖρα, ἔχουσι διαφοράς· καὶ γὰρ οὖρον κάκοσμον· καὶ δυσωδέστερον· σῆψιν σημαίνει· καὶ πάλιν· ἐν πυρετοῖς οὖρον ὑδατῶδες καὶ λευκόν, ἐν λευκοῖς ἐν νεωρήμασιν· ἢ δυσώδη, παρακοπὴν πα-


περὶ δυσωδῶν οὔρων:-

νῦ· καὶ αὖθις οὖρον ἐργνεν πυρετοῖς ὀξέσιν παχὺ μέ-
λαν καὶ δυσῶδες, μηδὲν τῆς κινήσεως ἐχούσης,
σημεῖον θανάτου· καὶ ἐν ἄλλῳ ἀφορισμῷ φησίν, οὖρον
ὀδμὴν βαρεῖαν ἔχων, σύντηξιν δηλοῖ· καὶ σβέ-
σιν καὶ νέκρωσιν τῆς φύσεως· καὶ περὶ τῶν τοιούτων
οὔρων, ἱκανὰ τὰ εἰρημένα· ἐπειδὴ δὲ τὰ ἔμπρος-
θεν συμπλοκὰς τῆς λεπτῆς καὶ παχείας συστά-
σεως μετὰ τῶν χρωμάτων, λειπόμενόν ἐστι παρα-
δοῦναι· καὶ τί σημαίνει τούτων ἕκαστον πλὴν εἰ μὴ ἐστὶ τὴν
οὐσίαν παχύ· φανερὸν ὅτι ἀπὸ πέψεως ἐπαχύνθη.
ἐκ περιουσίας τῶν ὠμῶν χυμῶν καὶ παχέων· λοι-
πὸν μετὰ λεπτῆς συστάσεως τὸ παρυφιστάμενον
συμβηθὲν, οὐ δύναται· ἀλλὰ μετὰ ὑποστάσεως
ἐρυθροῦ χρώματος καὶ ὑπερύθρου· ἐν δὲ ταῖς
τοιαύταις ὑποστάσεσιν τὰ χρώματα δηλοῦνται
ἀπεψίαν, συνελθεῖν οὐ δύνανται· ὅτι ἡ πέψις
παχύνει τὰ οὖρα· ἡ δὲ ἀπεψία λεπτὰ τηρεῖν
αὐτά· τὰ δὲ ὑπέρυθρα καὶ ἐρυθρὰ ἔχονται τὴν ὑ-
πόστασιν ἐξ αἵματος εἰσί· τὸ δὲ αἷμα πεπραμ-
μένον ἐστί· δῆλον οὖν ἐστὶ γινώσκειν ὅτι τινὰ χρώμα-
τα συμπλεκόμενα ταῖς συστάσεσι, ταῦτα συμ-
πλακήσονται καὶ ταῖς ὑποστάσεσιν· καὶ γὰρ πα-

περὶ λεπτῆς καὶ παχείας συστάσεως· καὶ μετὰ ποίων χρωμάτων:

χὺ παρυφιστάμενον ὑπέρυθρον, μετὰ παχεί-
ας συστάσεως σωματικῆς· καὶ δηλοῖ κατὰ μὲν τὴν
σύστασιν καὶ τὸ παρυφιστάμενον, ὑπερπλῆθος
αἵματος· ὁμοίως δὲ καὶ μετὰ τοῦ χρώματος
τῶν ἐνδεχομένων συμπλακῆναι τῇ τε συστά-
σει καὶ τῷ παρυφισταμένῳ· τὰ γὰρ τοιαῦτα
δηλοῦσιν, ὑπερβολὴν καὶ ἔλλειψιν· πλὴν τῆς
συμμέτρου ἀμφοτέρων τῆς συστάσεως ἢ τοῦ πα-
ρυφισταμένου· μετὰ τῶν τὴν φύσιν χρωμά-
των πυρροῦ καὶ ὑποπύρρου· καὶ δηλοῖ τὴν ἀρίστην
πέψιν τῆς συστάσεως· καὶ τοῦ παρυφισταμένου,
καὶ τοῦ χρώματος· καὶ περὶ μὲν τῆς τῶν οὔρων δι-
δασκαλίας κατὰ τέχνην· καὶ ἅδε καὶ διαφορὰς,
καλῶς καὶ ὡς δυνατὸν ἐξεθέμεθα· καὶ τοῖς βου-
λομένοις ἀναγινώσκειν, σαφήνειαν:~





ἐκ τοῦ Σολυμηνίου τοῦ Ἀλεξάνδρου περὶ κρισίμων ἡμερῶν.

Τῶν κρισίμων ἡμερῶν αἱ μέν, κατὰ σύλληψιν ἤγουν οἷον κατὰ συνέχειαν· αἱ δέ, κατὰ διέχειν, οἷον αἱ ἑβδοματικαὶ αἱ κρίνουσαι. σημειούμεθα δέ, ἐκ μὲν τῆς α΄ ἡμέρας, τὴν δ΄. ἐκ δὲ τῆς δ΄, τὴν ζ΄. ἐκ δὲ τῆς ζ΄, τὴν ια΄. ἐκ δὲ τῆς ια΄, τὴν ιδ΄. ἐκ δὲ τῆς ιδ΄, οὐκέτι κρίνομεν κατὰ τετράδας, ἀλλὰ καὶ δι' ἑβδομάδας. οὐ γὰρ ἰσχύουσιν αἱ κρίσιμοι ἐπιδηλοῖ εἶναι καὶ κρίνειν κατὰ τετράδας ἀσθενουσῶν τῶν δυνάμεων. ὁμοίως ἐκ τῆς ιδ΄, προγινώσκειν τὴν ιζ΄, ἅτε παλαιοῦ ὄντος τοῦ νοσήματος. ἐκ δὲ τῆς κ΄, τὴν κζ΄. ἐξ αὐτῆς δέ, τὴν λα΄ καὶ ἐξ αὐτῆς· τὴν μ΄.

καὶ αἱ μὲν μετὰ τῆς πέψεως γινόμεναι αἱ κρίσιμοι ἡμέραι, ἀγαθαί εἰσιν· εἰ δὲ πρὸ τῆς πέψεως, κακαί· ἔστι διαφορὰ ὅτι ἡ μὲν πέψις μονήρης ἐστὶν ἀγαθή· ἡ δὲ κρίσις, καθόλου ἀγαθή.

καὶ πρὸ μὲν πέψεως, ἡ κρίσις κακή· τὰς δὲ πέψεις, δηλοῖ ὁρᾶν ἐν τοῖς οὔροις καὶ πτύσμασι καὶ διαχωρήμασι.

καὶ ὁ μὲν καῦσος, ἀγαθὴν ἔχει τὴν κρίσιν, δι' ἱδρώτων καὶ αἱμορραγίας· ὁ δὲ διαλείπων τριταῖος, πρόσφορον ἔχει τὴν κένωσιν, δι' ἐμέτων καὶ διὰ

χωρημάτων καὶ ἱδρώτων·

ιη. Διὰ φρενίτιδος, περιφορηθνέχει τὴν κένωσιν, δι' αἱμορραγίας καὶ ἱδρώτων καὶ διαπαρωτίδων.

ιθ. Διὰ πλευρίτιδος περιφορηθνέχει τὴν κένωσιν, δι' αἱμορραγίας καὶ ἱδρώτων καὶ πτυσμάτων.

Ἐπὶ τούτου δέ, ἡ μὲν θερμὴ ἐστὶν ἡ ὥρα καὶ ἡ χώρα καὶ ἀκμαζόντων καμνόντων· καὶ ὀξὺς ὁ πυρετός, καὶ ἡ ἐπὶ ἡ κρίσις. εἰ δὲ τοὐναντίον, κακόν.

μ. Ἐστὶ δὲ τὴν π ἡμέρας οὐκέτι κρίσιμοι κυρίως, ἀλλὰ λύσις τῶν νοσημάτων γίνεται, οἷον ἡ ξ΄ ἡ π΄· ἡ ρκ΄· εἶτα, ἐν ἑπτὰ μησί· καὶ ἐν ἐνιαυτῷ· καὶ ἐν ἑπτὰ ἔτεσι:-

τοῦ αὐτοῦ, περὶ κατακλίσεως:-

κα Κατεκλίθη τοίνυν ὁ νοσῶν ἐν ἀρχῇ τῆς α΄ ἡμέρας, ἡγούμενον νοσερὰν καλοῦμεν τὴν α΄ ἡμέρ(αν), ἀλλὰ κατάκλισιν. ἐν ᾗ παρακολουθοῦσι σημάδια ταῦτα· χασμεστοὶ τανυσμοί· λυγισμοὶ καὶ καταχθόνια· καὶ ταύτην οὐ καλοῦμεν νοσερὰν ἡμέραν, ἀλλὰ κατάκλισιν· καὶ δὴ ἀφυλαξίαν, κόπων· σιτίων· πολυλαλίας·

Ἐτὰ δὲ τὴν α΄ ἡμέραν δῆλον ὅτι ἐπικαταλαμβάνουσαν ἡ β΄. καλεῖται αὐτὴ πρώτη τῆς νόσου.

καὶ ἀπ' αὐτῆς, ψηφίζονται αἱ ἡμέραι τοῦ νοσήματος μέχρι κρίσεως· ἐν αὐτῇ οὖν τῇ δευτέρᾳ ἡμέρᾳ· ἢ τῇ μετὰ τὴν πρώτην τοῦ νοσήματος, αὐξάνεται ἡ ὕλη· καὶ λοιπόν, ὁ σφυγμὸς μέν, πυκνὸς καὶ ἄνομος· οὖρα ἄπυρα ὀξέα· ἀνέψηται γάρ, γλῶσσα χλωρή·

Τούτοις, δίδοται χυλὸν πτισάνης ἄχρι τῆς δ' ἡμέρας: εἰ δὲ διὰ ἀσιτίαν ἐκχολωθῇ ἢ ἕτερόν τι τοιοῦτον· καὶ ὕλη οὐχ ὑπάρχει τοιαύτη· οὐδὲ ὁ πυρετὸς ὀξύς, ἀλλ' ἐστὶν ἄτακτος ἢ ξηρὸς φέρεται, δίδοται τούτῳ καὶ τοῖς κόκκοις· καὶ ἕτερα τροφῶν καὶ ὠῶν·

Εἰ δὲ ἐπὶ ὕλη πάσχει καὶ λεπτὴ ὑπάρχει, τὴν μετὰ ταῦτα ἐκδέχεσθαι· διὰ τὸ τὴν δ' μειοῦσαν τὴν ζ' εἴτε ἀγαθὰ ἐπισυμβαίνει σημαίνοντι, εἴτε πονηρά· τὰ δὲ οὖρα καὶ ἡ τοῦ σφυγμοῦ ἀκρίβεια, δήλω ποιεῖ τὴν τοιαύτην κρίσιμον:

Τῆς γὰρ δ' καλῶς διερχομένης, δηλονότι καὶ ἡ ε' καὶ ἡ ζ' ὁμοίως γενήσεται· ἐκ δὲ τῆς ζ' μέχρι τῆς ιδ' παραφυλαττόμενοι σημαινόμενον.

Εἰ δὲ ἔγροσις ἄλλη καὶ θερμασίας, ἢ καῦσος ἔχει τὴν ζ' λῆξον πυρετὰ συγχωρητέον. δι' ὠῶν καὶ ἑψήματος καὶ ἐρδίνου· ἢ χυλὸν ἁπλοῦ· ἢ κρά-

μένης· ἢ στρύχνου· ἢ ἀειζώου· ἢ θριδακίνης·
Αἱ δὲ σπλάγχνου τάσις γένηται ἢ ὄγκος, λινόσπερ-
μον· καὶ θάλλαρον· λεκύθους ὠῶν· ἕψημα·
ῥόδινον· ἀλθαίαν· χαμαίμηλα· ἀναλαμ-
βάνεσθαι πάντα· καὶ ἐμπλάσσεσθαι εἰς ῥάκος,
καὶ ἐπιτίθεσθαι ἐν τοῖς σπλάγχνοις·
Τροφὴν δὲ, δίδοναι κολοκύνθην εἰς φοίνικαν· ἢ
θριδακίνης φύλλα ἑφθὰ ὁμοίως· ἢ βουκοσελῖ-
νον, μετὰ ὑδροροσάτου· ἢ λεκύθους ὠῶν· καὶ
τρέφεσθαι διαίτῃ ἀφετῶν ὠῶν· καὶ ἀχυμαίου·
καὶ σώματος τὸ ὑδρόμελι· τὸ ἀπόμελι· τὸ
ὀξυκρατόμελι, σὺν χυλῷ σευτλιδάλεως· ἢ ἰτρί-
καὶ οὕτως ὑποδέχεσθαι καὶ τὴν ζ΄· ἢ τὴν η΄· καὶ τὴν
θ΄· Αἱ δὲ καῦσος αὐξάνῃ καὶ ἐπὶ χολὴ πάσχα.
καὶ οἱ προηγεῖται ὠμότης· καὶ ἐπιθυμίαι γένη-
ται ψυχροῦ, παρακρατεῖν δεῖ αὐτὸν, ἵνα πο-
θιὰ ἀκεραννὴ δίψα αὐτῷ γένηται· καὶ οὕτως ἐπι-
δῶμεν αὐτῷ ὕδωρ, ἀχρὶ δύο, ἢ τριῶν λιτρῶν.
περιβαλλομένῳ ἱματίοις πλείοσι διὰ τὸ κινῆ-
σαι ἱδρῶτας· Κίνδυνος δὲ τοῦ ἱδρῶτος· τὴν ἀ-
ναπνοὴν, μόνην φαίνεσθαι ἐπινοεῖσθαι· καὶ
διὰ φαρμάκων καὶ ἀλοιφῶν, ἱδρῶτας κινεῖν

ποιήσωμεν· διὰ γὰρ ἱδρώτων, καὶ οὔρων, καὶ γαστρός, ἀποπαύεται ἡ νόσος·

Ἂν δ' ἔξῃ θερμότερος ὁ καιόμενος· καὶ πολλὴ ἡ θερμασία, χρᾶσθαι ἐπαντλήμασι καὶ ἀλοιφαῖς, ἀπὸ ῥοδίνου· καὶ χλιοῦ· καὶ οἴνου ψυχινοῦ· ἐπαλείφειν δὲ τὸ σῶμα πᾶν, καὶ τὴν κεφαλὴν σκέπεσθαι. Τῇ δὲ νόσῳ ἁρμόζει· ἁπλᾶ καθάρσια γαστρός, ἐπεχομένης, φλεβοτομίαι· ἐνέματα, τὴν δὲ κένωσιν τῆς γαστρός, σμικρὰν ποιητέον· ἐπειδὴ καὶ αὐτὴ ἡ κόπρος, ὑποστήριξίς ἐστι τοῦ καιομένου. Καὶ ἂν μὲν ἡ ἄνω γαστὴρ ἐμπεφραγμένη ᾖ, διὰ στόματος βοηθεῖ· ἡ δὲ ἡ κάτω, δι' ἐνεμάτων τινῶν· δεῖ δὲ καταλαμβάνεσθαι τὸν νοσοῦντα ὑπὸ τοῦ ἰατροῦ, ἐπὶ τὸ δεξιὸν πλευρὸν ἀνακείμενον, ἢ τὸ ἀριστερόν· καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλη, ὀλίγον ἐπικεκαμμένα ἔχοντα· καὶ ὅσα Ἱπποκράτης ἐπὶ τοῦ προγνωστικοῦ ἡμᾶς ἐδίδαξε:-

+ Μηνολόγιον ἀκριβὲς περὶ ζωῆς καὶ θανάτου:- κε

Εἰς τὴν πρώτην τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον ἔχει, ἕως ἡμέρας τρεῖς· καὶ ἂν διέλθωσιν αἱ τρεῖς, ἀσθενεῖ ἡμέρας λ', καὶ ὑγιαίνει:·

Εἰς τὰς β΄ ὁ κατακλιθεὶς φόβον ἔχει, ἕως ἡ-
μέρας κ΄· ἂν δὲ διέλθοι τὰς κ΄, ἀσθενήσας βα-
ρέως καὶ ὑγιαίνει:-
Εἰς τὰς γ΄, δὶ ἐλαφροτίζουσα ἡ ἀσθένεια αἴτι-
οις ὑγιαίνει:
Εἰς τὰς δ΄, φόβον ἔχει, ἕως τὰς κη΄· εἰ δὲ δι-
έλθοι τὰς κη΄, ὑγιαίνει:
Εἰς τὰς ε΄, φόβον ἔχει θανάτου, ἀλλ᾽ οὐκ ἀπο-
θνήσκει:
Εἰς τὰς ϛ΄· ὁ κατακλιθεὶς, φόβον ἔχει θανάτου,
ἕως ἡμέρας ζ΄· τελευτᾷ γάρ;
Εἰς τὴν ζ΄ ἡμέραν ὁ κατακλιθεὶς, οὐκ ἀποθνήσκει:
Εἰς τὴν η΄, ἂν οὐχ ὑγιάνῃ ἕως ἡμέρας κ΄· ἢ τῆς
ιζ΄· θνήσκει:-
Εἰς τὴν θ΄, ἀσθενήσει μὲν πολλὰ καὶ οὐκ ἀποθνήσκει.
Εἰς τὴν δεκάτην κατακλιθεὶς, τελευτᾷ ταχέως:
Εἰς τὰς ια΄, ὑγιαίνει.
Εἰς τὰς ιβ΄ κατακλιθεὶς, ἕως ἡμέρας ια΄ τελευτᾷ:
Εἰς τὴν ιγ΄, ἕως ἡμέρας ιη΄· φόβον ἔχει, ὑγιαίνει:
Εἰς τὴν ιδ΄· κατακλιθεὶς, τελευτᾷ:
Εἰς τὴν ιε΄· ὁ κατακλιθεὶς, ὑγιαίνει:
Εἰς τὴν ιϛ΄· φόβον ἔχει θανάτου ἕως ἡμερῶν ιθ΄· ἂν

δι' οὐ χ(ρὴ) ὑγιαίνειν ἕως ἡμέρας ιθ´ τελευτᾷ:

Ὁ ἀπὸ τὰς ιζ´ ὑγιαίνει:

Ὁ ἀπὸ τὰς ιη´, ἕως ἡμέρας ιβ´ φόβον ἕξει καὶ ὑγιαίνει:-

Ὁ ἀπὸ τὰς ιθ´, ταχέως ὑγιαίνει:-

Καὶ ὁ ἀπὸ τὰς κ´ ὑγιαίνει ὁμοίως:

Ὁ ἀπὸ τὴν κα´ ἀσθενήσῃ ἡμέρας δέκα καὶ ὑγιαίνει:

Ὁ ἀπὸ τὰς κβ´ ἡμέρας ιϛ´ ὑγιαίνει:

Ὁ ἀπὸ τὰς κγ´ οὐ τελευτᾷ:-

Ὁ ἀπὸ τὰς κδ´ καὶ ἀπὸ τὰς κε´, ἀσθενήσῃ πολλὰ
οὐκ ἀποθνήσκει:-

Ὁ ἀπὸ τὰς κϛ´ ἀσθενεῖν ἀρξάμενος, ἀποθνήσκει:

Ὁ ἀπὸ τὰς κζ´ ἐλαφρῶς ἀσθενεῖ καὶ οὐκ ἀποθνήσκει:

Ὁ ἀπὸ τῶν κη´ καὶ εἰς τὴν κθ´ καὶ εἰς τὰς λ´ φόβον ἕξει
θανάτου ὁ κατακλιθείς:

Ὁ ἀπὸ τὴν λα´ οὐκ ἀποθνήσκει:-

† ἡμέραι σεσημειωμέναι τῶν ιβ´ μηνῶν:-

Μηνὸς σεπτεμβρίου γ´ καὶ κδ´. Μηνὸς ὀκτωβρίου γ´ καὶ
† κα´. Μηνὸς νοεμβρίου ε´ καὶ ια´. Μηνὸς δε-
κεμβρίου γ´ καὶ κδ´. Μηνὸς ἰαννουαρίου β´ καὶ ιδ´.
Μηνὸς φεβρουαρίου κα´ καὶ κβ´. Μηνὸς μαρτίου δ´,
καὶ κ´. Μηνὸς ἀπριλίου ϛ´ καὶ κ´. ⁝ Μηνὸς ἰουνίου,
γ´ καὶ ια´. Μηνὸς ἰουλίου ϛ´ καὶ κ´. Μηνὸς αὐγούστου,
δι᾽ ...

†: Μηνὸς μαΐου ϛ´ καὶ κ´

Ταύτας δὴ τὰς ἡμέρας ἐφανέρωσεν ὁ θεὸς ἔσδρα τῷ ἱερῷ ἀνθρώπῳ· ἵνα καταδήλους ποιήσῃ τοῖς ἀνθρώποις τῶν ἀνθρώπων· καὶ ὀφείλεις φυλάσσειν ἑνὸς ἑκάστου μηνὸς ἡμέρας δύο· ἐν γὰρ ταύταις ταῖς ἡμέραις ὁ καταπληχθεὶς, οὐκ ἀνίσταται· ὁ γαμῶν, οὐ χαίρει· ὁ γεννηθεὶς, οὐ ζήσεται· ὁ εἰς πόλεμον ὑπάγων, οὐκ ἐπανέρχεται· καὶ ἔτι ἂν ἄλλο ποιήσῃ πᾶς τις ἐν ταύταις ταῖς ἡμέραις, οὐ κατευοδωθήσεται:–

Ἕτεραι σεσημειωμέναι ἡμέραι ληφθεῖσαι ἀπὸ ἰατρικοῦ βιβλίου ἀρίστου εἰς φλεβοτομίαν καὶ καθάρσεις καὶ τῶν προειρημένων:–

Δεῖ γινώσκειν ὡς ὅταν τύχῃ ἡ ἡμέρα τῆς ἑβδομάδος ἡ δευτέρα· ἢ τοῦ δεκεμβρίου μηνός· ἢ τοῦ ἀπριλίου· ἢ τοῦ αὐγούστου· ἐν ταύταις γοῦν ταῖς ἡμέραις ἤτοι ταῖς ὀγδόαις τῶν προειρημένων τριῶν μηνῶν, δεῖ ἀπέχεσθαι πάσης πράξεως· ἐξαιρέτως, φλεβοτομίας καὶ καθάρσεως· καὶ ἄλλοις δόσεως οἱασδήποτοῦν βοηθήματος. ὁ γὰρ φλεβοτομήσας ἐν ταῖς προειρημέναις ἡμέραις ἤγουν ταῖς ὀγδόαις τῶν τριῶν μηνῶν, τὴν ϛ' οὐ φθάνει· ὁμοίως καὶ ὁ βοηθη

λαμβάνων· ἀλλὰ καὶ ὁ ἐσθίων χοίρειον κρέας
ἐν ταύταις ταῖς ἡμέραις, βίῳ θανατώτατος ἐστίν·
εἰσὶ δὲ καὶ ἄλλαι χρησταὶ ἡμέραι καὶ ἐν τῷ τῆς δ' ἔτοι ἐς
παντὸς πρᾶγμα αὗται, ἀπὸ φωνῆς τοῦ ἁγίου σιλ-
βέστρου ὑπαπαρώμενα:—

Μηνὶ σεπτεμβρίῳ α΄. δ΄. ι΄. ιγ΄. ιη΄. κε΄. μηνὶ ὀκτωβρίῳ
β΄. δ΄. ιε΄. μηνὶ νοεμβρίῳ ζ΄. η΄. θ΄. ιζ΄. ιη΄. κϛ΄.
κζ΄. μηνὶ δηκαρίοις ε΄. ϛ΄. ιγ΄. ιε΄. ιϛ΄. κγ΄. κε΄.
μηνὶ ἰαννουαρίῳ, γ΄. ζ΄. ιβ΄. ιϛ΄. κγ΄. κδ΄. μηνὶ φεβρου-
αρίῳ, ιβ΄. ιδ΄. ιθ΄. κ΄. μηνὶ μαρτίῳ, ζ΄. ε΄. θ΄. μηνὶ
ἀπριλίῳ· δ΄. ϛ΄. ι΄. ιε΄. μηνὶ μαΐῳ· γ΄. δ΄. ιγ΄. κα΄.
κγ΄. κδ΄. μηνὶ ἰουνίῳ α΄. β΄. ια΄. ιε΄. κ΄. μηνὶ ἰουλίῳ
ε΄. θ΄. ιζ΄. ιη΄. κζ΄. μηνὶ αὐγούστῳ· γ΄. ζ΄. ια΄. ιϛ΄
κδ΄. κε΄: Τοῦ αὐτοῦ περὶ τῶν τῆς ☾ ἡμερῶν:·

Εἰσὶ δὲ τῶν τῆς ☾ ἡμερῶν αἱ μὲν πεφωτισμέναι,
αὗται· α΄. β΄. γ΄. ζ΄. θ΄. ι΄. ια΄. ιγ΄. ιδ΄. ιϛ΄.
ιζ΄. ιθ΄. κ΄. κβ΄. κγ΄. κϛ΄. κε΄.

Αἱ δὲ ἀφώτιστοι, αἵδε· δ΄. ε΄. ϛ΄. η΄. ιβ΄. ιε΄. ιη΄.
κα΄. κδ΄. κε΄. κζ΄. κθ΄. λ΄. Ἐάν τις οὖν γεννηθῇ
ἐν ἡμέρᾳ πεφωτισμένῃ, ἔσται εὐτυχὴς καὶ αἰ-
δέσιμος καὶ δεδοξασμένος, κἂν δοῦλος· κἂν
ἐλεύθερος ᾖ,: ἂν δὲ ταῖς ἀφωτίστοις, ἔσται ἀτυ-

χρηστὸς καὶ ἄδοξος· καὶ ἀγεννὴς τύχη· καὶ δοῦλος
καὶ ὅσιος ἤ· ἀλλὰ καὶ ἀμαθὴς, καὶ ἀφυὴς, καὶ
δῆλος· καὶ δουλοπρεπής, καὶ εἰς πᾶν πρᾶγμα
ἀνωφελής: Γαληνοῦ τί ἐστιν ἱδρώς· ἀπ. πε-
ριήθημα τῆς ἐν τῷ αἵματι λεπτότητος, καὶ ὀρρώδους
ὑγρασίας. ἀπ. τί ἐστι χαρεθερτός· ἢ ἄτρο-
κθ μος, καὶ ψυχὴ ἄτολμος· ἀπ. τί δύναται σικύα· λύ.
αἱ σικύαι δύνανται ἕλκειν, κενῶσαι· ὀδύνην μαλῶσαι· ἐμ-
πνευμάτωσιν, διαφορῆσαι· ὄρεξιν, ἀνακα-
λέσασθαι· ἄτονον καὶ ἐκλελυμένον στόμαχον
τονῶσαι, λειποθυμίας, ἀπαλλάξαι· τὰ δὲ
ἐν βυθῷ καθ᾿ ὅσοις, εἰς τὴν ἔξω ἐμφάνειαν διαστῆ-
σαι καὶ ῥεῦμα ξηρᾶναι· ἀπ. τί δύναται φλεβο-
τομία· λύ. δύναται ἡ φλεβοτομία, κενῶσαι
τὰ πεπληρωμένα· ξηρᾶναι, τὰ ὑγρασμένα·
ματαγαγεῖν τὰ ἐπιφερόμενα· φλεγμονὰς
λῦσαι, ὀδύνας παῦσαι· σπασμοὺς ἀνακινεῖσθαι·
κνησμοὺς ἀπαύσασθαι· τὰ πεπυρωμένα ψῦ-
ξαι· τὰ ἐψυγμένα, θερμᾶναι· ἐντάσεις λῦσαι·
καταφορὰς ἀπαλλάξαι· ὀδύνας τὰ στενῶσαι·
θλιβομένους, διεγεῖραι· καὶ περιόδους ἀνακα-
λέσασθαι, ἀπ. τί δύναται ἔνεμα ἢ κλυστήρ· λύ.

δύναται ὁ κλυστὴρ, παρηγορᾶν· χαλᾶν· καὶ
σκύβαλα ὑποσύρειν· καὶ νομὰς ἐντέρων πε-
ρὶ χαράσσειν καὶ καθαίρειν τὰ ἔντερα καὶ κάθα-
ρα ἀπὸ δυσωδίας· καὶ τὰ ἐν τοῖς ἐντέροις γενόμενα
ζῶα διαφθεῖραι· οἷον ἕλμινθας· ἀσκαρίδας
καὶ ἄλλως φθοροποιὸν δύναμιν ἀμβλῦναι· ἀπ
πόθεν γίνεται ῥῆξις αἵματος· ἀπ ποτὲ μὲν,
δι' ἀνάβρωσιν· ποτὲ δὲ, δι' ἄρρηξιν φλεβίου·
ἢ δι' ἀναστόμωσιν κοιλίας· ἐνταῦθα λέγει Ἱππο-
κράτης οὐ τέως σοι τὸ δόχον μόνον ἀλλὰ καὶ τὰ ἄλ-
λα σώματα τὰ ὀφύλλα περιλαμβάνειν τὴν ὑγίειαν·
ὡς ὡραίων καὶ τικτόμενα διὰ ὑγιείας· αἵ τε δὴ τῆς
φύσεως ἀπεργαζομένοις ἔνδοθεν τὴν ὑγείαν·
ἀλλ' ὡς πρὸς αἰτίων τινῶν ὅτε νοσοῦμεν οὐ μέν-
τοι ἀπὸ φύσεως· ὡς γὰρ εἴρηται, ἡ φύσις ἡμῖν
χαρίζεται τὴν ὑγίειαν· ὡς περὶ τὰ θηρία· καὶ τὰ
βάρβαρα ἔθνη· ἀπὸ φύσεως, καὶ οὐ κατὰ τέχνην
αὐτόματον ἔχουσι τὴν ὑγίειαν· παρασθέντες
ἀποδέξαι μὴ ἔχουσαν τὴν ἰατρικὴν ὑποκάμον·
ἀπὸ γνωρίσματα ἐκ καὶ σκοποῖ τέχνης· λέγουσι
μὴ δεῖ τέλος αὐτὴν ἔχειν· ὅπερ καὶ τοῦτο χαρακτη-
ριστικὸν τέχνης· ἢ μανθανόντων ὅτι ἔχει τέλος·

τῆς γὰρ ἰατρικῆς τέλος, ἡ ὑγίεια· καὶ φασὶν ὅτι ψά-
δικαθει· οὐ γὰρ ἐκ τῆς ἰατρικῆς ἡ ὑγίεια, ἀλλ' ὡς εἴπο-
δεξαμεν ἀπὸ φύσεως· ἣ καὶ μία μὲν ἀναστροφή
αὐτῶν ἐνιοτέρα δὲ πράξει, μαθησόμεθα καὶ τὰς
ἄλλας:- + περὶ τῶν τοῦ ἔτους τεσσάρων καιρῶν,
καὶ τίνι ἀναλογεῖ ἕκαστος αὐτῶν ὥρα:-

λ´ Ἡ ὥρα ἀπὸ τὴν πρωΐαν αὐτῆς ἕως τὴν ζ´ ἡμέραν, ἀναλο-
γεῖ τῷ ἔαρι καὶ ἔστι θερμὴ καὶ ὑγρά· ἀπὸ δὲ τῆς ζ´
ἕως τῆς ιδ´, ἀναλογεῖ τῷ φθινοπώρῳ· καὶ ἔστι
ξηρὰ καὶ ψυχρά· ἀπὸ δὲ τῆς κα´ ἕως τῆς τελευ-
ταίας κθ´ς´´, ἀναλογεῖ τῷ χειμῶνι· καὶ ἔστι ψυ-
χρὰ καὶ ὑγρά:- + πρὸς αἷμα ἀπὸ ῥινῶν κατα-
λα´ πᾶσαι· ἡδύοσμον λειώσας καὶ ἀναλαβὼν μέλι-
τι πολυέλαιον ποίησον· καὶ τίθει εἰς τὸν μυκτῆρα:-

ἄλλο Ἐρυθεδάνου ῥίζαν λείαν φυράσας σὺν ὠῷ λαι,
ὑπόχριε τοὺς μυκτῆρας ἔσω: ἢ ἀγρώστεως
ἄνθος ἤτοι τὸ ἄκρον ἐντίθει τῷ μυκτῆρι καὶ ἐ-
πίστρεφε ἕως ἂν αἱμορραγήσῃ· ἢ πεντάφυλλον
μετὰ ἐλαίου τρίψον καὶ ἐντίθει:-

λβ´ + περὶ ὀκνησμονῆς σώματος:- δάφνης φύ-
λλα· καὶ ἀλτιποτου α´· καὶ ὄξος καὶ ἔλαιον ἀ-
νὰ οὐγγ. α´· ἕψαι εἰς ἀπὸ τρίτων ὤσιν· καὶ λαμβάν

τὸ ἕλκος· ἄλειφε· ἢ κισσοῦ φύλλα ἁπαλὰ καὶ
ἁλὸς ὀλίγον σὺν οἴνῳ καὶ ἐλαίῳ λεάνας.
+ εἰς κεφαλαλγίαν καὶ ἡμικρανίαν ἐμβροχή:- λϛ
λάδανον ξηρόν· καὶ νίτρον· καὶ κρίνου ῥίζαν καὶ
κύμινον ἐξ ἴσου· ἕψε μετὰ οἴνου καὶ ποίει ἐμ-
βροχὴν ἐπὶ τὴν κεφαλήν· ἰᾶται γὰρ κεφαλαλγί-
ας· ἡμικρανίας· καὶ ὅσα περὶ τὴν κεφαλὴν πάθη:
ἀποφλεγματισμοὶ καθαίροντες τὴν κεφαλήν: λζ
ὀριγάνου· ὑσσώπου· σαμψύχου· γλήχωνος· ταῦτα ἕ-
ψαι σὺν ὀξυμέλιτι καὶ ὄξει· καὶ δίδου ἀναγαργαρίζειν·
ἄλλος Σταφίδα ἀγρίαν καὶ μαστίχην δίδου
μασᾶσθαι· ἢ γλήχωνος, ὑσσώπου, σταφίδος ἀγρίας·
θύμου· ὀριγάνου σὺν ὄξει καὶ ὀξυμέλιτι ἑψήσας,
δίδου ἀναγαργαρίζειν:- ἔρρινον καθαῖρον ἰσ-
χυρῶς· ἐλατηρίου ξε ϙε· μελάνθιον τὸ β· λειώσας
σὺν κυπρίνῳ ἐλαίῳ, ἔγχεε ταῖς ῥισί:- ἢ μελάνθιον
σὺν γάλακτι γυναικείῳ λεάνας ἔγχεε:-
+ κατάπλασμα εἰς τὸ ὀδυνώμενον τὸ ἰσχίον ἢ τὰς λη
χεῖρας ἀπὸ ῥεύματος· γλήχωνα καὶ σίνηπι ἀ-
μφότερα τετριμμένα, βαλὼν εἰς τρυβλίον ἢ ὄστρα-
κιν ἰατρικὸν μετὰ οἴνου, ἕψε καὶ κατάπλαττε
τὸ ἰσχίον καὶ ἐπίδεσμα· ἕτερον πρὸς πόνον ἰσ-

αἱμοπτοΐλινον τε φραν ζυμώσας μετὰ ὑγρᾶς πί-
σσης· ποίησον ἔμπλαστρον· καὶ ἐπιτίθει εἰς
τὰς ψοίας καὶ εἰς τὸ ἰσχίον· καὶ ἄπονος ἔ-
σται:- ἕτερον θεραπ. τοῦ ἰσχίου πεπραγμένον:-
Τιτάνου· εὐφορβίου· πυρέθρου· ἀγρίας
σταφίδος ταῦτα τὰ ἴσα σταθμῷ τρίβε καὶ σή-
θε λεπτῷ κοσκίνῳ· καὶ βαλὼν αὐτὰ εἰς τρου-
λίν· ἀναλάμβανε κεδρίᾳ· καὶ χλιάνας ὀ-
λίγον· ἄπλωσον εἰς ῥάκος λινοῦν· καὶ ἐπι-
τίθει τῷ ἰσχίῳ· καὶ φασκίωσον· ἔα φορεῖν
αὐτὸ ἕως ἄπονον ἔσται τῇ τοῦ Χριστοῦ χάριτι· πεπεί-
ραται γάρ:- + κατάπλασμα εἰς ῥεῦμα ἔχοντα
λϛ καὶ ῥευματιζομένων τὸν θώρακα· μέλι χλι-
άνας ἄλειφε τὸν θώρακα· καὶ ἐπίπασσε
γλήχωνα τετριμμένον· καὶ ἐπιτίθει μαλλὸν
καὶ ἐπίδεσμα· + ξηρίον εἰς αἱμορροΐδας·
λζ παλλη(?): κηκίδος γο α· σμύρνης γο α· στυπτηρίας γο α·/.
μελαντηρίας γο α· κόψας σήσας· χρῶ ξηρόν.
ἐγὼ δὲ ἀπορήσας μελαντηρίας· σῶρι ἔβα-
λον καὶ ἐποίησε θαυμασίως· δὸς ξ οἴνῳ προνί-
πτοντας· οὕτως ἐπιπάττειν· Ποιεῖ δὲ καὶ αὐχό-
ν καὶ λίβανος τὸ καταπασσόμενα:· πρὸς ἄν

μυρσίνης
φύλλ. ξηρὰ·
σο γ· κεκαυ-
μένον μόλιβδον
∠γ· χαλκάνθ.
ταρωων ∠δ
σφαιρίον
κυπρισαδ.
σκωρίας σιδή.
ἢ χαλκοῦ ∠γ·
γύψου μερ. β:-

θρακὰς ἀλοιφὴ πάνυ καλή: λιθαργύρου ἐπὶ ἐλαίου παλαιοῦ μ' ας''. ἀρσενικοῦ γο α'. ἑψήσας τὸ ἔλαιον· καὶ τὸν λιθάργυρον ἕψε ἕως δ' μολλώ-του· καὶ ἄρας ἐπίβαλλε τὸ ἀρσενικὸν· καὶ πάλιν ἕψε, ἕως μελιτώδης οὖ στάσας· καὶ μαλάξας, χρῶ, ὡς παρατ. γάρ:— λη'

+ πρὸς ἐξοχάδας καὶ πᾶν πάθος ἕδρας. λθ

Λιθάργυρος· σκωρίαν μολίβδου· κέρας ἐλάφου κεκαυμένον ἀναλάμβανε μετὰ σουσίνου ἐλαίου· ἢ ὡς κρίνου ἐλαίου· ἢ ῥοδοστάγματος καὶ χρῶ·

Λεπίδος σιδήρου· ἢ μολίβδου κεκαυμένου μετὰ ὄξους ἐπιτήδειον λαμβάνειν· καὶ ἐπίθες αὐτὸ εἰς τὸν τόπον:—

+ πρὸς τὸ καταπαῦσαι γάλα γυναικῶν:— μ

Τῆλιν ζέσας καὶ τρίψας, κατάπλασσε τοὺς μασθούς: καὶ μελάνθιν λειώσας μετὰ οἴνου, δίδου πίνειν ἀπὸ λουτροῦ: νῆστις: ἢ θέρμια ὠθιέτω: καὶ κνίδης δέσμην ἴδιν ἑψῶν οἴνω, ὁμοίως πότιζε· ἀπὸ λουτροῦ· καὶ ἡδύοσμον χυλὸν, ἐπίχριε τοὺς μασθούς: Περὶ δὲ τὸ ξηρᾶναι καὶ ἀναστεῖλαι γάλα τὸ πολύρρεον· καρκίνους ποταμίους τρίψας, κατάπλασσε τοὺς μα-

ἀθόου· ἢ λίθον ὀσφρμα λάξευσας σὺν ῥοδίνῳ
καταπλάττε: + ὅταν ὁ ὀφθαλμὸς τοῦ ἀνθρώπου
ἐκκρουσθῇ τῇ ποιότητι ὀδύνης τῆς αὐτοῦ ἕδρ(ας)
καὶ μέγας γένηται:- τρυγίαν οἴνου τρίψας
καὶ ῥόδα· καὶ κικίδα λεῖα, μίξον αὐτὰ οἴνῳ
αὐστηρῷ καὶ ἐπιτίθει· εἶτα ἐπάνω αὐτοῦ, ἐ-
πιτίθει σπόγγον καινὸν μεμαλαγμένον ὄξει ἢ
οἴνῳ καὶ ἀποθλιμμένον καὶ ἐπίδεσμα· ἄλλος
κικίδα λείαν· καὶ ψιμύθιον, σὺν οἴνῳ μίξας
ἐπιτίθει· εἶτα ἐπάνω ἐπιτίθει σπόγγον καὶ
νὸν μεμαλαγμένον σὺν οἴνῳ καὶ ὄξει καὶ ἀπο-
πιεσμένον, καὶ ἐπίδεσμον σὺν αὐτόν, ἡμέ-
μβ΄ ρας· ε΄: + περὶ ἀλφῶν: ἀλφοὶ λέγονται, ὅ-
ταν ὁ ἄνθρωπος ἐκβάλῃ εἰς τὸ πρόσωπον αὐτοῦ ὥσπερ
φακοὺς κόκκους· ποιεῖ τὸ παρόν, καὶ εἰς λαχίνας
καὶ εἰς λέπρας σὺν δὲ λίβανον καὶ κεδρίαν
κόψας καὶ σήσας σὺν οἴνῳ σὺν χρῖε σὺν ἐλαίῳ καὶ ἄλει-
φε· ἄλλο, θεῖον ἄπυρον· λιθάργυρον· ἀγρί-
αν σταφίδα κόψας καὶ σήσας μίξον χρῖε σὺν ἐλαίῳ
καὶ ἄλειφε· ἢ δαίδαν λιθάργυρον ξέσον σὺν χρῖε
σὺν ἐλαίῳ· καὶ τὸ ἔλαιον τοῦτο μίξον σὺν σησαμίνῳ
λιθαργύρῳ καὶ ὄξει καὶ οὕτως ἄλειφε· πλὴν ἐν λουτρῷ:

ἢ μάρμαρον λεῖον πάνυ, μίξον λευκῷ ᾠοῦ, καὶ
ἄλειφε· ἢ κεδρίνου ῥίζαν λείαν μίξας μετ' ὄξους,
ἄλειφε· ἢ ψιμίθιν· κόπρον ξηρὰν χελιδό-
νος· καὶ λευκὸν ᾠοῦ μίξας, ἄλειφε· ἢ ῥίζαν
κόψας πάνυ σὺν καμιναίας, μάλαξον αὐτὴν
σὺν ὄξει καὶ ἐπιτίθει· ἢ ἡμέρου συκῆς ἢ ἐρι-
νεοῦ τὰ φύλλα κόψας πάνυ μάλαξον αὐτὰ
ὄξει καὶ ἐπιτίθει· ἢ ἀγρίαν σταφίδα κεκομμέ-
νην καὶ σεσησμένην καὶ θεῖον ἄπυρον, μίξον σὺν ὄ-
ξει ἐπάλειφε· ἢ φύλλα ποταμογείτονος κεκο-
μμένα μάλαξ, καὶ θεῖον ἄπυρον λεῖον, καὶ ὄ-
ξος συνημμένα καὶ μεμαλαγμένα ἐπιτίθει·
ἢ καρπῖνον κεκομμένον· καὶ νίτρον ὁμοίως
δ' ὄξει συνώσας ἄλειφε: + περὶ ἀποστήματος :- μγ
ἀπόστημα σκορπίζει ἡ μαλάχη· ὑοσκύαμος
φύλλα λεῖα τὴν στέατι ὑείῳ ἀναμάλαξ· ἢ λαπάθου ἀ-
γρίου ἢ τοῦ ἡμέρου φύλλα ἑφθὰ λεῖα καὶ χλι-
αρὰ ἐπιτιθέμενα· ἢ λινόσπερμον λεῖον ζέσας
ὕδατι· εἶτα μαλάχης φύλλα ζέσας ὕδατι·
καὶ λεῖα ποιήσας σὺν κηρωτῇ ἀλφίτῳ καὶ λινοσ-
πέρμῳ· καὶ στέατι ἐπιτίθει· ἢ αἴρας ἄλφιτον
ζέσας ὕδατι γλυκεῖ· καὶ σὺν στέατι μίξας ἐπιτίθει:

ἢ κόπρον περιστερᾶς σὺν ὀξάλμῃ λειάνας καὶ ἑψήσας ἁπλώ-
σας ῥάκει, ἐπιτίθει. ἢ σπαθοβότανον κοπανί-
σας, ἐπιτίθει. Εἰς αἱμορροΐδας καὶ ἐκβαταῖς ποι-
εῖ καρπὶν λάχανον μετὰ προσφάγων ἐπιτιθέμενον.
ἢ κριθάλευρον βράσον μετὰ χυλοῦ τοῦ σεύτλου
τῶν φύλλων καὶ μαλάξας, ἐπιτίθει.
ἢ φλώμου τὰ φύλλα λεῖα ἐπιτίθει. ἢ κρομμύ-
ον ὀπτὸν λεῖον καὶ σάχαρ, καὶ σταφίδας ἐκγι-
γαρτωμένας πάντα λεῖα ἐπιτίθει. ἢ λαπά-
θου ῥίζαν λείαν μάλαξον σὺν στέατι χοιρείῳ ἢ
χηνείῳ ἐπιτίθει. ἢ πίσσαν τρίψον καὶ πάσσον
περὶ ἐπαλείψας τοῦτο τόπον στέατι ἢ ἔλαιον:~
Λαβὼν ῥοῦ σκυτέως καὶ κηκίδας καὶ κυτίνους καὶ
μυρσίνην, ὁλκὴν μεο κόπτησον. εἶτα βάλλον ἅμα εἰς
χύτραν καινὴν καὶ ὕδωρ ἀρκοῦν ὥστε ἐπιπωμά-
ζεσθαι. καὶ βρασάτωσαν ὥστε τὴν μίσαν θῆναι.
εἶθ' οὕτως ἐξενέγκων τὴν χύτραν τοῦ πυρὸς καὶ χλι-
ανθὲν, τὸ ἐν αὐτῇ περὶ δύο ἡμερῶν ποιεῖ καλόν.
οὕτω γὰρ ὀφελεῖ ποιεῖν πρὸ δύο ἢ καὶ τριῶν ἡ-
μερῶν ὡς εἰ δημοῖ ἀρκετ. εἰς δ' ἀκριβῆ σωμοῦλω-
σιν, τῇ τῶν εἰρημένων ποιοτήτων στριφνότητι.
Λαβοῦσα περὶ μήλια μεγάλα μέθωσον δύο αὐ[...]

τὰ καὶ ἐκβαλοῦσα τοῖς ἔνδον λαοῖς οἰομένας,
εἶτα σφαξάτω περιστερὰν, καὶ λαβοῦσα τὸ αἷμα
αὐτῆς, ἐμβαλέτω ἐν τοῖς τῶν κρομμύων ὑμέσι
καὶ δεσμευθήτωσαν οἱ ὑμένες ἀνθρωπίνες τρί-
χαις, διὰ τὸ ἀφώρατον· ἔστωσαν δὲ οἱ ἔχοντες
τὸ περιστέριον αἷμα καὶ δεδεμένοι ὑμένες τῶν κρο-
μμύων, ἀπὸ ε΄· ἢ ς΄· ἢ ὅσα βούλει καὶ δίωκε αὐτοῦ γ-
καλύψαι φρονίμως· + Εἰς ἐμπρησμὸν σφο-
δρόν, κόπτων φλόγα πυρὸς :-

Γράψον εἰς κεραμεῖον ὄστρακον· λόγος θεοῦ, ὁ υἱὸς
τῆς παρθένου· δημιουργὸς Ἀδὰμ τοῦ πρωτοπλά-
στου· οὐ δημιούργημα: καὶ τὰ ἑξῆς τοῦ τροπαρίου:
εἶτα ἐπιγράφων ὥσπερ γὰρ πρὸ τῆς ἀρρήτου οἰ-
κονομίας ἔσωσας σὺ γὰρ τὰ βάστοις περὶ Ἀζαρίαν
παῖδας ἐν τῇ ἀνυποίστῳ καμίνῳ Βαβυλῶνος καὶ
διὰ Χριστοῦ καὶ διασκορπίσας αὐτήν, αὐτὸς κύριε ὁ θεὸς ἡμῶν
Ἰησοῦ Χριστέ διὰ πρεσβειῶν τῆς θεοτόκου τῶν ἁγίων τριῶν παί-
δων καὶ Δανιὴλ τοῦ προφήτου, διασκόρπισον τὴν
ἀνυπόστατον τῆς καμίνου ταύτης ῥύμην, ἵνα γνῶ-
σι πάντα τὰ ἔθνη ὅτι σὺ εἶ ὁ παλαιὸς καὶ νῦν ὁ αὐτὸς
θεὸς καὶ τὴν τῶν ἁγίων σου ἐπακούων δεήσιν, καὶ τῶν
πιστῶς ἐπικαλούντων, διὰ τοῖν ἀντιλαμβανόμενος,

+ ἀντὶ σιδήρου δὲ καὶ φορεῖ ἄρτος οὗτος εἰς ... μάρ θύρσοι:

ὅτι δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας· καὶ θαυμαστῶς θεοῦ ἐξεφάνη ἀντίληψιν:-

+ περὶ τοῦ μνημονικοῦ τί ἂν εἶναι:-

Τὸ μνημονικὸν εὕρημα ἐστίν, ζηναρίας τῆς ἐπιθαγορικῆς σοφίας ἔστι δὲ τοῦτο, βοτάνη χάλκανθος καὶ θύμος· πεπέρεως λευκοῦ· ἀλὶ καὶ ἐβονμέλι· ἀσαφρὶς μὲν· σμύρνα· κρόκος· καὶ πέπερος, ἐπίσης· καὶ ἐσθίε αὐτοῦ μετὰ χαλκοῦ ἐπιλησμόνων μὲν ἀνδρῶν τῶν πονηρῶν· μνήμων δὲ τῶν ἀγαθῶν:

Ἐπὶ μὲν ἰδίως ἄλυμος· μίγμα ἄλλα ἀσφοδέλου ξηρῶν ἡμέρας χάλκηρις ζήσης· καὶ σύσταμου πολλήν κη· μήκωνος τελακκῆς σιέλλης στέωμενης τῆς ξανθῆς. καὶ ὁ λαμβάνων τοῦτο ἄσιτος, ἔφη ἡμέρας πολλὰς διημερεύσειν ἄλυπος τελέως:. ἀγρυπνικὸν οἴκου:-

Ἐάν τις θέλῃ ἀγρυπνεῖν εἰς τὸν οἶκον αὐτοῦ ἀπὸ ματην, γράψαι εἰς φύλλα δάφνης ἑπτά· τὸ ὄνομα τῶν ἀγγέλων, ἰαὼ ἡ σαβαώθ· ὁμοίως καὶ τοῦτο τὸ ὄνομα γράψατε λέγων· ἰαὼ· ἰβα· ἡ σαβαὼθ διὰ τοῦ ὀνόματος τοῦ μεγάλου θεοῦ· ἐκκλάσατε κατηγορήσας ... ταῦτα γράψας εἰς τὰ φύλλα πλύνων αὐτὰ ἐπὶ ὕδατος καὶ ῥάνων τὸν οἶκον σου· μετὰ δὲ ταῦτα καὶ τὸ ἁγίασμα τῶν ἁγίων

καὶ μυῖας ἀναιρετικόν:

ἅψον καυτῆρα τοῦ ἀνθρώπου καὶ μίξον τὸ ἀνέλαιον· καὶ ἀλείψας μετὰ τοῦ ἀντίχειρος φανεῖ· καὶ ῥαντίσας δὲ ὕδρα καὶ τὰ λάχανα ὅπου θέλεις καὶ μυῖαι· καὶ ἀποστήσονται:-

Κώνωπας οὐκ ἂν γενέσθαι εἰς κλίνην ἢ εἰς ἀνάπαυσιν· ἄσφαλτον καὶ θεῖον ὑποκαπνιζομένων· ἢ ἐξαντλήσας ἀρθῆναι καὶ ἑψηθεῖσα κώνωπας· μετὰ ἀνήθου τὸ δὲ ὕδωρ αὐτοῦ ἐπιρραντίσαι, οὐκ ἂν γενέσθαι κώνωπας ἐκεῖ:

θεοφανίων ῥάναν ἔσωθεν καὶ ἔξωθεν:-

+ περὶ τοῦ διώξαι νόσον παντοίαν ἀπὸ τοῦ σοῦ οἴκου.

Ὅταν σοι συμβῆ ἀσθενῆσαι, πρῶτον ποίει παράκλη-
σιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ τὴν ὑπέραγνον θεοτόκον· εἶ-
τα λάβε δύο ἴδας καὶ λίβανον καὶ θυμίαμα μάλη-
λείωσον αὐτά· καὶ ἀλάφου ταῦτα μετὰ τῶν ἁγί-
ων θεοφανίων τὸ ἁγίασμα· καὶ λειτούργησε τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ῥάνον καὶ τὸν οἶκον· καὶ διώ-
κεται πᾶν κακὸν ὑπὸ τῇ ἐπικλήσει τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ: περὶ τοῦ τοξάριν αὐτυχ(εῖν):-

Λαβὼν τὸ ἧπαρ τοῦ ὄφεως τοῦ λεγομένου τυφλί-
του ξήρανον αὐτὸ καὶ κάπνισον καὶ τὸ τόξον καὶ
τὰ ῥοῦχα σου ἀπὸ μηδὲ φοραθῇ ἐν τῷ θηράσαι,
ἀλλὰ δὴ καὶ τὰ βέλη σου· καὶ μέλλεις τοξάριν
εὐστοχώτατα· πλὴν, μήτε τὰ ῥοῦχα, μήτε
τὰ ἅρματα χρῶ ἐν ἄλλῳ καιρῷ:- Δένδρα
ποιῆσαι μὴ ἀποβάλλειν τὸν καρπὸν αὐτῶν,
οὕτως· κερνουρίζαν κρέμασον ἐπὶ τὸ δένδρον·
ἢ μόλιβδον σύρας καὶ ποιήσας γράμμα· δῆσον
ἢ γουν ζῶσον ἀπὸ τὴν ῥίζαν τῶν δένδρων· ἄλλος.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ πρωΐ· λαβὼν ὕδωρ
τῶν ἁγίων θεοφανίων ῥάνον τὰ δένδρα· καὶ

τῇ αὐτῇ ἡμέρᾳ ἐνί καὶ μετὰ λαίβοις τῶν ἐνθηχ μοῦ
σπρίων, ἄπελθε καὶ φίλησον τῷ δένδρῳ, λέγων
ἐκ τρίτου· ὡς τὸ μοῦ σπρῖον ὃ ἐδέξατο μὲν ἡ γῆ φοβη-
θὲν καὶ σύ, τὸν καρπὸν μὴ ἀποβάλλῃ δένδρον·
ἀλλὰ βάστασον καὶ τελεσφόρησον αὐτόν, ἐν ὀνό-
ματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος:~

+ περὶ συλλήψεως γυναικός· συλλαμβάνειν τὴν
γυναῖκα ποιεῖ, σατυρίου σπέρματος, γο δ'· καὶ μέ-
λιτι ἀττικοῦ γο δ'· ἐλάφου χολήν, ὅλον τοῦ
γραὶν τῆς χολῆς ἐν ὀσφύι αὐτοῖς, ὡς πυσσὸς τεθῇ
τῷ ἀστείῳ φύσιν αὐτῆς· καὶ στεῖρα αὐτὴ τέξεται:

Ἄλλο ἐὰν καὶ στεῖρα ᾖ· ἐριονίας ῥίζης, γο ι'·
μέλι, γο α'· ἕψησας ἕως οὗ ἀποτριτωθῇ, δί-
δου καὶ κίον ἐν νῆστιν πίνειν· Ἄλλο τὸ ἐντὸς ὀ-
στέου τῆς τοῦ ἐλάφου καρδίας ὅπερ λέγεται στρα-
γανὸν ξηρανθὲν τοῦτο τεφρώσας καὶ τρίψας, δὸς
πιεῖν μετὰ τὸ ἐξελθεῖν ἀπὸ λουτροῦ μετὰ ἁγι-
άσματος: Ἄλλο· λαγωοῦ μήτραν ὅταν ἀφ-
χωνται τῆς γυναικὸς τὰ ἔμμηνα· ἢ πρὸς τὰ τέλη
τῆς καθάρσεως αὐτῆς· καὶ ξηρίψας πότισον,
ἢ δὸς αὐτῇ ταύτην φαγεῖν· καὶ συλλήψεται:~

ἢ ἄνθος μέλιτος· καὶ λεπτοκαρύας ἄνθος· καὶ
ἀτόκιον τῇ πιπτούσῃ ὡς τὸ οἰσύδε· τῆς θηνοῦ πιπτούσης· πᾶσα ἡ κτῆσις ἠγάθη·
ἔξελθε καὶ σὺ παιδίον καλ... ἡ κεχαριτωμένη ἵνα εὐφρανθῶσιν οἱ σε τεκόντες:

Τοῦ ἀφ(ε)ίλατα καρπὸν ῥίζα φώτης γυναικὸς βραχίονι ἀποκρέμασον.
Κυπρίνου ἰχθύος τὸ στέαρ, σπως ὅτι ἐστὶν ὁρμητικὸν ἐν γρόφοις. τοῦτο τῇ ξηρῇ χρίσον τὸν δι... κῆπον βαλανί συλλήψεται ζηση. ἄλλο· προυχανὸς ... ἀλόη νίσσα ... ῥοδίνου λαῶς καὶ πυκνὸν δι' ἐρίου ποιήσας, ἐντιθέσθω ἡ μετ' ἐληγουσῶν τῶν ἐμμήνων καὶ οὕτως συγγινέσθω τῷ ἀνδρί ... ὡς ἄλλημα ἑκάτερον.
Τι γ μέρος τοῦ χρήσεται: ἄλλο·

Ἄλλο ὠκυτόκιον· ἀετί-
την λίθον δίδου κρατεῖν
τῇ τικτούσῃ
ἐν τῇ ἀριστερᾷ χει-
ρί. Ἄλλο·
στέφανον ἐκ
μηχανίας ποι-
ήσας ἐπίθες
τῇ κεφαλῇ
αὐτῆς.

κοριάνου ἄνθος σὺν οἴνῳ ἀπὸ τριπλώσεως, δίδου
πίνειν. Ἄλλο· καρπὸν μύρμηκος· γέρανος.
ἢ γέρανος δήσας καθαρᾷ ὀθόνῃ ἐπὶ τῆς γυναικὸς,
ἀποπεριζώννυται τὸ ῥάκος καὶ ἐν τῇ κοίτῃ. ἢ τοῦ
στομάχου τὸ ἐν τῇ καρδίᾳ τῆς ἐλάφου λαβὼν, ξύ-
σον· καὶ πότισον τὴν γυναῖκα μετὰ ἁγιάσμα-
τος· περὶ ἀτεκνίας· γράψον τό· μακάριος
ἀνὴρ· μέχρι τό, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν
καιρῷ αὐτοῦ· εἰς ὄστρακον καινὸν καὶ οὐ καινήν· καὶ
βαλὼν ἐν αὐτῷ ὕδωρ, λείωσον τὰ γράμματα.
καὶ δὸς πίνειν τῇ κυούσῃ, καὶ ὄψεται θεοῦ βοήθειαν
μεγάλην. Ἄλλο· μαλάχης φύλλα ταῖς πτέρ-
ναις τῆς τικτούσης ἐπίθες, καὶ εὐθέως τέξεται.
καὶ σὺν τάχει ἆρον αὐτὰ μήπως ἐπιβλαβῇ
ἡ γυνή. Ἄλλο, ἢ κοριάνου· κολιάντρου κόκκους
ια'· ἢ καὶ· δήσας εἰς πανίον, τοῦτο δὸς παρθένῳ
γυναικὶ ἐπιδεσμῆσαι ἀπὸ τὸν μηρὸν τῆς τικτού-
σης· καὶ εὐθέως τέξεται· καὶ σὺν τάχει ἆρον αὐ-
τό, μήπως καὶ τὰ σπλάγχνα αὐτῆς ἐξέλθωσιν.
Ἄλλο· εἰς τὸ οὖς τῆς τικτούσης λέγε· ἡ Σάρρα ἔτε-
κε πρὸς τάξιν τοῦ θεοῦ· ἔξελθε Λάζαρε καλεῖ σε
ὁ Χριστός· ἀρχάγγελε Μιχαὴλ καὶ θυρωρὲ τῶν πόνων, ὁ

κλάφων καὶ ἀνοίγων τοῖς ἐπαοιδοῖς· αὐτὸς διά-
νοιξον καὶ τὴν μήτραν τῆς γυναικὸς κινδύνου ἁρμονίης
καὶ ὅπως δουλῆς τῆς δεῖνα ἐξέλθοι τὸ ἐν αὐτῇ βρέ-
φος ἐκ τῆς κοιλίας αὐτῆς· ἔξελθε βρέφος·
καλεῖ σε ἡ γῆ, ἡ μήτηρ σου:- ἄλλο γράψον εἰς κέ-
ραμον, τό, μηνὸς θητικὸν τῶν ψαλμῶν ἕως
τῶν θεμελίων αὐτῆς· καὶ τίθει αὐτὸ εἰς τὸ δεξι-
ὸν μέρος αὐτῆς· περὶ ἀρρενοτοκίας· χοίρου στέαρ·
καὶ τερεβινθίνην καὶ λειώσας καὶ ἄμμωτον
ποιήσας, ἐπίβαλλον ἐν ἐρίῳ καθαρὸν τῆς γυ-
ναικὸς φύσει· πλὴν τὸ ἄκρον τοῦ μοτοῦ δεδεμέ-
νον ἔστω ἐν τῷ μηρῷ αὐτῆς· περὶ τοῦ γνῶναι γυ-
ναῖκα εἰ ἔστι παρθένος ἢ ἐστιν ἢ ἐμοιχεύθη· νυκτι-
κόρακος καρδίαν καὶ τὸν δεξιὸν αὐτοῦ πόδα ἐπί-
θες ἐπάνω τῆς καρδίας αὐτῆς κοιμωμένης μὴ εἰδυίας
τὸ γὰρ ὅσα καὶ πάντα ὅσοι ἐξεῖποι· ἄλλο· λίθον μα-
γνῆτιν εἰς ζέοντα οἶνον βάψον· καὶ οὕτω δὸς πιεῖν
αὐτὴν νῆστιν ἀπὸ λουτροῦ· καὶ πάντα ὅσα λέγει:
ἄλλο· βατράχου ζῶντος κόψας τὴν γλῶσσαν, τὸν
τὸν ἀπόλυσον· γράψον δὲ εἰς τὴν γλῶσσαν τὴν ἐκκό-
ψας τοῦ βατράχου, οὕτως, χουνεχεδημινουφ.
καὶ οὕτω κοιμωμένης αὐτῆς, ἐπίθες τὴν γλῶσσαν


ἄλλο ἀκόνιον
ἢ ὠκυτόκιον:
ὄνυξ τῆς φορβά-
δος ὑποθυμιώμενος
τῶν δὲ φρωτῆς τι-
κτούσης· ἐπὶ ἑπτὰ
καὶ θημερινὸν ἐν αὐτῷ:
τ16 ἢ χολὴ βοὸς αὐθη-
λή· ἢ κηρὸς πρὸς
αὐτῆς ὑποθυμιώμενον
ὡς ἀφροδίτη
τὰ δεύτερα καὶ
ταχέως ἐξάγει:
ἢ ἐρίῳ προσφέ-
ρε τοῦ ἀνδρὸς
αὐτῆς εἰς τὸ στόμα
τῆς γυναικὸς κρατεῖν·
ἢ πότισον
αὐτὴν γάλα αἰ-
γειον σὺν μέλιτι:
ἢ στέφανος ναυ-
τῶν λαγῖνι δέ:
ἢ βάλλον εἰς αὐτὴν
ὀνφακὴν μὴ
δὴ ἀπὸ γυνὴ τὸ πρᾶγμα ἀπό
μενον καὶ οὐρῆ πάντα ἐν αὐτῷ,
καὶ πῶς πλέον ὄμφακι,
τ15 παρθένος ἐστὶν ἀδελφὴ μέν τε, με-
μοιχευμένη:-


εἰς τὸ στῆθος αὐτῆς· καὶ πάντα ὅσα ἂν ποιῇ, ὅσα ἐποί-
ησε: ἄλλο· λάβε ἄνηθον χλωρὸν, καὶ ποίη-
σον στέφανον καὶ ἐπίθες τῇ κεφαλῇ αὐτῆς· καὶ εἰ
μὲν ὁρμήσῃ κλαίειν ἢ δακρύειν, παρθένος ἐ-
στίν· εἰ δὲ γελᾶν ἄρξεται, ἤδη διέφθαρται· τοῦτο ποί-
ησον, ἐν ἡμέρᾳ παρασκευῆς, νηστευούσης τῆς γυ-
ναικός, ἢ μὴ εἰδυῖα τὸ γινόμενον· ἄλλο· κάπνισον
αὐτὴν σκόροδον ὑποκάτω τῆς ποδέας αὐτῆς·
καὶ ἐὰν ὑποπταρμισθῇ, παρθένος ἐστίν, εἰ δ' οὐ, διέ-
φθαρται· ἄλλο· τοῦ ἀλέκτορος τὸ δίκρανον
ὀστοῦν, τὸ περὶ τὸ στῆθος ὃ καὶ χαραυλέγουσιν,
ἐπίθες εἰς τὴν καρδίαν αὐτῆς κοιμωμένης μετὰ
δήας· ἄλλο· βατράχου ζῶντος γλῶσσαν ἐκκό-
ψον καὶ αὐτὸν ἀπόλυσον· καὶ ἐν αὐτῇ τῇ γλώσσῃ,
γράψον τὸ ὄνομα τῆς γυναικός, καὶ κοιμωμένης
αὐτῆς, ἐπίθες τὴν γλῶσσαν εἰς τὸ στῆθος αὐτῆς·
καὶ οὕτως ἐρώτα αὐτήν, καὶ αὐτὴ εἰ διεφθάρη,
ἐξαγορεύσει τοῦ μοιχοῦ τὸ ὄνομα· † περὶ φθο-
ρίων:- λάβε κισσοῦ φύλλα λα· ἢ τὸν χυλὸν αὐτῶν
πότισον αὐτὴν καὶ οὐ παιδοποιήσει· ὅσα γὰρ
φύλλα, ἢ τὸν χυλὸν αὐτῶν πάσει, τοσούτους χρό-
νους ἡ αὐτὴ οὐ τεκνογονήσει· ἄλλο· πύρεθρον

ἢ κατὰ τὴν λίθ(ον) ὑποθυμίασον ὑπο-
κάτω ἐν τῇ σ(?), καὶ
εἰ μὲν οὐρήσῃ,
παρθ(ένος)· εἰ δὲ μὴ
οὐκ ἔστιν:



ὡς ἐπὶ πόσις ἐμβεβλημένον εἰς τὸ γυναικεῖον αἰ-
δοῖον ἐπτυούσης, ἐκθορεῖν ποιεῖν τοῦ ἐμβρύου:
ἄλλο. τῆς ἰτέας ὁ καρπὸς καὶ τὸ ἄνθος καὶ τὰ φύ-
λλα λεανὰ πινόμενα μετὰ ὕδατος, ἀτόκους ποι-
εῖ. ἄλλο. τὸ ἡδυκλῖον λεῖον μετὰ ὕδατος. ἢ
τὸ λιθόσπερμα. ἢ τὸ βρονίκην λεῖον σὺν ὕδα-
τι. ἢ ἡ καφουρά. καὶ ἰὸς ξυστὸς σὺν ὕδατι.
ἢ σπέρμα τῶν σφαιρίων τοῦ κυπαρίσσου λεῖον
σὺν ὕδατι:.





β



STE

OL
Vari
G

Man